BYZANTINE GREEK SERIES · VOLUME 34

The Life of Moses

Gregory of Nyssa

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΜΩΣΕΩΣ
ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΤΗΣ ΟΣΙΑΣ ΜΑΚΡΙΝΗΣ

The Life of Moses

With the Life of Macrina

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 34 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Migne's Patrologia Graeca 44 (Paris, 1863)
for the Life of Moses and 46 (Paris, 1863) for the Life of Macrina

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Migne numbers no paragraphs; the margins count his paragraphs within each book.

CONTENTS

THE LIFE OF MOSES

BOOK I

I · The Race Without a Finish 9
II · Birth, Exile, and the Bush 17
III · The Plagues and the Sea 27
IV · Manna, Amalek, and Sinai 36
V · The Tabernacle and the Calf 47
VI · Rebellions and the Death of Moses 54

BOOK II

VII · Born in a Tyrant's Reign 65
VIII · The Light in the Bush 74
IX · The Brother Who Comes to Meet Him 83
X · Bricks, Plagues, and Hard Hearts 92
XI · Darkness, Boils, and the Firstborn 102
XII · Killing the Firstborn, Eating the Lamb 111
XIII · Egyptian Gold and the Red Sea 122
XIV · Water, Palms, and Bread 133

THE LIFE OF MOSES

(continued)

BOOK II

(continued)

XV · The Battle and the Ascent 142
XVI · The Trumpets and the Darkness 151
XVII · The Tabernacle Not Made with Hands 159
XVIII · The Church and the Priest's Robe 169
XIX · The Breastplate and the Broken Tablets 176
XX · The Levites' Sword 184
XXI · The Cleft in the Rock 192
XXII · To See God Is Never to Be Filled 199
XXIII · Following Behind God 209
XXIV · The Spies and the Cluster 217
XXV · The Rebels and the Budding Rod 225
XXVI · Balaam and Phinehas 235
XXVII · The Servant of God 243

THE LIFE OF MACRINA

I · Why the Life Was Written 257
II · Mother, Brothers, and the Monastery 265
III · The Life of the Community 274
IV · Basil's Death and Gregory's Visit 283
V · The Last Evening 292
VI · Macrina's Prayer and Death 301
VII · Preparing the Body 309
VIII · The Funeral 317
IX · The Healed Eye 324

GREGORY OF NYSSA

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΜΩΣΕΩΣ

The Life of Moses

BOOK I

I · THE RACE WITHOUT A FINISH

As spectators shout on the horses they favor, Gregory urges on his young friend, who has asked him to sketch the perfect life. Things measured have limits, but virtue's one limit is to have none: the good is bounded only by its opposite, so to stop in virtue is to begin in vice, and God, the good itself, is boundless. Perfection cannot be grasped, yet the Lord's command stands: human perfection is always to want more of the good. Scripture offers Abraham and Sarah as beacons, one for each sex; one more life may serve.

Οἷόν τι πάσχουσιν οἱ τῶν ἱππικῶν ἀγώνων φιλοθεάμονες, 1
what-sort-of — experience the of-the horse- races lovers-of-spectacles
οἳ τοῖς παρ᾽ αὐτῶν σπουδαζομένοις ἐν ταῖς ἁμίλλαις τῶν
who to-the(-ones) by them being-favored in the contests of-the
δρόμων, κἂν μηδὲν προθυμίας εἰς τὸ τάχος ἐλλείπωσιν,
courses even-if nothing of-eagerness toward the speed they-fall-short
ὅμως ὑπὸ τῆς περὶ τὴν νίκην σπουδῆς ἐπιβοῶσιν
nevertheless from the for the victory zeal shout-on
ἄνωθεν, τὸν ὀφθαλμὸν τῷ δρόμῳ συμπεριάγοντες, καὶ
from-above the eye with-the course turning-round and
παρακινοῦσιν (ὥς γε νομίζουσιν) εἰς ὀξυτέραν ὁρμὴν τὸν
urge-on as at-least they-think to sharper rush the
ἡνίοχον, ἐπικλάζοντες ἅμα τοῖς ἵπποις, καὶ ἀντὶ
charioteer clicking-at at-the-same-time to-the horses and instead-of
μάστιγος τὴν χεῖρα κατ᾽ αὐτῶν προτείνοντές τε καὶ
(a)-whip the hand at them stretching-out both and
ἐπισείοντες· οὐχ, ὅτι τελεῖ τὰ γινόμενα πρὸς τὴν
shaking not because accomplishes the(-things) happening toward the
νίκην, ταῦτα ποιοῦντες, ἀλλ᾽ εὐνοίᾳ τῇ πρὸς τοὺς
victory these(-things) doing but out-of-goodwill the toward the(-ones)

ἀγωνιζομένους, φωνῇ τε καὶ σχήματι τὴν σπουδὴν ὑπὸ
contending with-voice both and with-gesture the zeal from
προθυμίας ἐπισημαίνοντες· τοιοῦτόν τί μοι δοκῶ καὶ αὐτὸς
eagerness signaling such — to-me I-seem also myself
ποιεῖν ἐπὶ σοῦ, φίλων μοι καὶ ἀδελφῶν τιμιώτατε,
to-do in-the-case-of you of-friends to-me and of-brothers most-honored
ὅτι σου κατὰ τὸ τῆς ἀρετῆς στάδιον καλῶς ἐναγωνιζομένου
that you in the of-the virtue stadium nobly contending
τῷ θείῳ δρόμῳ, καὶ πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως
in-the divine course and toward the prize of-the upward calling
πυκνοῖς τε καὶ κούφοις συντεινομένου τοῖς ἅλμασιν,
with-frequent both and light straining-on with-the leaps
ὑποφωνῶ τε καὶ ἐπισπεύδω, καὶ ἐπιτείνειν τῇ σπουδῇ
I-call-out both and urge-on and to-increase in-the zeal
τὸ τάχος διακελεύομαι. Ποιῶ δὲ ταῦτα, οὐκ ἀλόγῳ
the speed I-exhort I-do and these(-things) not by-unreasoning
τινὶ προθυμίᾳ πρὸς τοῦτο φερόμενος, ἀλλ' ὡς ἀγαπητῷ
some eagerness toward this being-carried but as to-(a)-beloved
τέκνῳ καθ' ἡδονὴν χαριζόμενος. Τῆς γὰρ ἐπιστολῆς,
child according-to pleasure gratifying the for letter
ἣν πρώην διεπέμψω, ταύτην ἀπαγγελλούσης τὴν αἴτησιν,
which lately you-sent this announcing the request
τὸ γενέσθαι σοί τινα παρ' ἡμῶν ὑποθήκην εἰς τὸν
that to-be-made for-you some from us counsel toward the
τέλειον βίον· πρέπειν ᾠήθην παρασχεῖν· ἄλλο μὲν σοί
perfect life to-befit I-thought to-provide other indeed to-you
τι χρήσιμον ἐκ τῶν λεγομένων ἴσως οὐδὲν, αὐτὸ
something useful from the(-things) said perhaps nothing this-very
δὲ τοῦτο πάντως οὐκ ἄχρηστον, τὸ γενέσθαι σοὶ τῆς
but this(-thing) wholly not useless that to-become to-you of-the
εὐπειθείας ὑπόδειγμα. Εἰ γὰρ ἡμεῖς, οἱ τοσούτων ψυχῶν
obedience (a)-pattern if for we the(-ones) so-many souls

ἐν πατέρων τάξει προτεταγμένοι, πρέπειν οἰόμεθα τῇ
in of-fathers rank set-over to-befit we-think for-the
πολιᾷ ταύτῃ, νεότητος σωφρονούσης ἐπίταγμα δέχεσθαι,
gray-hair this of-youth being-sober (the)-injunction to-receive
πολλῷ μᾶλλον εἰκός ἐστιν ἐν σοὶ κρατυνθῆναι τὸ τῆς
much more fitting it-is in you to-be-confirmed the of-the
εὐπειθείας κατόρθωμα πρὸς ὑπακοὴν ἑκούσιον δι' ἡμῶν
obedience achievement toward obedience willing through us
παιδοτριβηθείσης σοι τῆς νεότητος. Καὶ ταῦτα μὲν εἰς
having-been-trained for-you the youth and these(-things) indeed to
τοσοῦτον. Ἐγχειρητέον δὲ ἤδη τῷ προκειμένῳ,
so-much it-must-be-taken-in-hand and now to-the(-thing) set-before-(us)
Θεὸν καθηγεμόνα ποιησαμένοις τοῦ λόγου. Ἐπεζήτησας, ὦ
God (as)-guide having-made of-the discourse you-sought O
φίλη κεφαλὴ, ὑπογραφῆναί σοι παρ' ἡμῶν, τίς ὁ τέλειός
dear head to-be-sketched for-you by us what the perfect
ἐστι βίος· δηλαδὴ πρὸς τοῦτο βλέπων, ὡς εἴπερ εὑρεθείη
is life evidently toward this looking that if-indeed should-be-found
τῷ λόγῳ τὸ σπουδαζόμενον, μετενεγκεῖν εἰς τὸν
by-the discourse the(-thing) sought to-transfer into the
ἴδιον βίον τὴν ὑπὸ τοῦ λόγου μηνυθεῖσαν χάριν. Ἐγὼ
own life the by the discourse shown grace I
δὲ ἐν ἀμφοτέροις ἐπίσης ἀμηχανῶ· τό τε γὰρ περιλαβεῖν
but in both equally am-at-a-loss the both for to-comprehend
λόγῳ τὴν τελειότητα, καὶ τὸ ἐπὶ τοῦ βίου δεῖξαι ὅπερ
in-word the perfection and the in the life to-show whatever
ἂν ὁ λόγος κατανοήσῃ, ὑπὲρ τὴν ἐμὴν δύναμιν ἑκάτερον
— the word should-understand beyond the my power each
τούτων εἶναί φημι. Τάχα δὲ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ
of-these to-be I-say perhaps and not I alone but also
πολλοὶ τῶν μεγάλων τε καὶ κατ' ἀρετὴν προεχόντων,
many of-the great both and in virtue excelling

ἀνέφικτον αὐτοῖς εἶναι τὸ τοιοῦτον ὁμολογήσουσιν. Ὡς
unattainable for-them to-be the such(-thing) will-confess that
δ' ἂν μὴ δοκοίην, κατὰ τὸν Ψαλμῳδὸν εἰπεῖν, ἐκεῖ
and — not I-may-seem according-to the Psalmist to-say there
φοβεῖσθαι φόβον, ὅπου οὐκ ἔστι φόβος· σαφέστερον, ὃ
to-fear fear where not is fear more-clearly what
βούλομαι, παραστήσω σοι. Ἡ τελειότης ἐπὶ μὲν τῶν
I-wish I-will-set-before you the perfection in indeed the
ἄλλων ἁπάντων, ὅσα τῇ αἰσθήσει μετρεῖται, πέρασί
other all as-many-as by-the sense are-measured by-limits
τισιν ὡρισμένοις διαλαμβάνεται, οἷον ἐπὶ τοῦ ποσοῦ, τοῦ
certain fixed is-bounded as in the quantity the
τε συνεχοῦς καὶ τοῦ διωρισμένου. Πᾶν γὰρ τὸ ἐν ποσότητι
both continuous and the discrete all for the in quantity
μέτρον, ἰδίοις τισὶν ὅροις ἐμπεριέχεται· καὶ ὁ πρὸς
measure by-own certain boundaries is-enclosed and the(-one) toward
τὸν πῆχυν, ἢ τὴν τοῦ ἀριθμοῦ δεκάδα βλέπων, οἶδε τὸ
the cubit or the of-the number decad looking knows the
ἀπό τινος ἀρξάμενον, καὶ εἰς τὶ καταλῆξαν, ἐν
from some(-point) having-begun and in some(-point) having-ended in
ᾧ ἔστι τὸ τέλειον ἔχειν. Ἐπὶ δὲ τῆς ἀρετῆς παρὰ
which it-is-possible the perfect to-have in but the virtue from
τοῦ Ἀποστόλου ἕνα τελειότητος ὅρον ἐμάθομεν, τὸ μὴ
the Apostle one of-perfection limit we-learned the not
ἔχειν αὐτὴν ὅρον. Ὁ γὰρ πολὺς ἐκεῖνος καὶ ὑψηλὸς τὴν
to-have it (a)-limit the for great that and lofty in-the
διάνοιαν, ὁ θεῖος Ἀπόστολος, διὰ τῆς ἀρετῆς τρέχων,
mind the divine Apostle through the virtue running
οὐδέποτε τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος ἔληξεν· οὐδὲ
never to-the(-things) before straining-forward ceased nor
γὰρ ἀσφαλὴς αὐτῷ ἦν ἡ τοῦ δρόμου στάσις. Διὰ τί;
for safe for-him was the of-the course standing-still because-of what

Ὅτι πᾶν ἀγαθὸν τῇ ἑαυτοῦ φύσει ὅρον οὐκ ἔχει, τῇ δὲ
because every good in-the its-own nature limit not has by-the but
τοῦ ἐναντίου παραθέσει ὁρίζεται· ὡς ἡ ζωὴ, τῷ θανάτῳ·
of-the opposite juxtaposition is-bounded as the life by-the death
καὶ τὸ φῶς, τῷ σκότει· καὶ πᾶν ὅλως ἀγαθὸν εἰς πάντα
and the light by-the darkness and every wholly good into all
τὰ τοῖς ἀγαθοῖς ἐκ τοῦ ἐναντίου νοούμενα, λήγει.
the(-things) to-the good(-things) from the opposite understood ends
Ὡς γὰρ τὸ τῆς ζωῆς τέλος ἀρχὴ θανάτου ἐστίν·
as for the of-the life end (the)-beginning of-death is
οὕτω καὶ τοῦ κατ᾽ ἀρετὴν δρόμου ἡ στάσις ἀρχὴ
thus also of-the in virtue course the standing-still (the)-beginning
τοῦ κατὰ κακίαν γίνεται δρόμου. Οὐκοῦν οὐ διεψεύσθη
of-the in vice becomes course so not was-false
ὁ λόγος ἡμῖν, ἀμήχανον ἐπὶ τῆς ἀρετῆς εἶναι τὴν τῆς
the word for-us impossible in the virtue to-be the of-the
τελειότητος περίληψιν λέγων· ἐδείχθη γοῦν ὅτι τὸ
perfection comprehension saying was-shown at-any-rate that the(-thing)
διαλαμβανόμενον πέρασιν, ἀρετὴ οὐκ ἔστιν.
bounded by-limits virtue not is
Ἐπεὶ δὲ καὶ τοῖς μετιοῦσι τὸν κατ᾽ ἀρετὴν βίον, 2
since and also for-the(-ones) pursuing the in virtue life
ἀδύνατον εἶναι εἶπον τὸ ἐπιβῆναι τῆς τελειότητος· οὕτως
impossible to-be I-said the to-attain-to the perfection thus
ὁ λόγος καὶ περὶ τούτου σαφηνισθήσεται. Τὸ πρώτως καὶ
the word also about this will-be-made-clear the first and
κυρίως ἀγαθὸν, οὗ ἡ φύσις ἀγαθότης ἐστὶν, αὐτὸ τὸ
properly good of-which the nature goodness is itself the
Θεῖον, ὅ τί ποτε τῇ φύσει νοεῖται, τοῦτο καὶ ἔστι
Divine whatever — ever by-the nature is-understood this both is
καὶ ὀνομάζεται. Ἐπεὶ οὖν οὐδεὶς ἀρετῆς ὅρος, πλὴν κακίας,
and is-named since then no of-virtue limit except vice

ἐδείχθη, ἀπαράδεκτον δὲ τοῦ ἐναντίου τὸ Θεῖον· ἀόριστος
was-shown inadmissible and of-the opposite the Divine limitless
ἄρα καὶ ἀπεράτωτος ἡ θεία φύσις καταλαμβάνεται.
after-all and boundless the divine nature is-grasped
Ἀλλὰ μὴν ὁ τὴν ἀληθῆ μετιὼν ἀρετὴν, οὐδὲν ἕτερον
but surely the(-one) the true pursuing virtue nothing other
ἢ Θεοῦ μετέχει· διότι αὐτός ἐστιν ἡ παντελὴς ἀρετή.
than of-God partakes because he-himself is the complete virtue
Ἐπεὶ οὖν τὸ τῇ φύσει καλὸν, ἐπιθυμητὸν εἰς μετουσίαν
since then the by-the nature beautiful desirable for participation
πάντως ἐστὶ τοῖς γινώσκουσι, τοῦτο δὲ ὅρον οὐκ
wholly is to-the(-ones) knowing this and limit not
ἔχει· ἀναγκαίως καὶ ἡ τοῦ μετέχοντος ἐπιθυμία τῷ
has necessarily also the of-the(-one) partaking desire with-the
ἀορίστῳ συμπαρατείνουσα, στάσιν οὐκ ἔχει. Οὐκοῦν
limitless stretching-along standing-still not has so
ἄπορόν ἐστι παντάπασι τοῦ τελείου τυχεῖν· διότι ἡ
impossible it-is altogether the perfect to-attain because the
τελειότης, καθὼς εἴρηται, ὅροις οὐ διαλαμβάνεται· τῆς
perfection as has-been-said by-limits not is-bounded of-the
δὲ ἀρετῆς εἷς ὅρος ἐστὶ, τὸ ἀόριστον. Πῶς οὖν ἄν
but virtue one limit is the limitlessness how then —
τις ἐπὶ τὸ ζητούμενον φθάσειε πέρας, οὐχ εὑρίσκων τὸ
anyone to the sought would-arrive limit not finding the
πέρας; Οὐ μὴν ἐπειδὴ καθόλου τὸ ζητούμενον ἄληπτον
limit not surely since altogether the sought ungraspable
ὁ λόγος ὑπέδειξεν, ἀμελητέον ἂν εἴη τῆς ἐντολῆς
the word showed must-be-neglected — would-be the commandment
τοῦ Κυρίου, ᾗ φησι· «Γίνεσθε τέλειοι, ὡς ὁ Πατὴρ
of-the Lord which says become perfect as the Father
ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν.» Ἐπὶ γὰρ τῶν φύσει
your the heavenly perfect is in for the by-nature

καλῶν, κἂν μὴ τοῦ παντὸς τυχεῖν δυνατὸν ᾖ, τὸ καὶ
good(-things) even-if not the whole to-attain possible it-be the also
μὴ τοῦ μέρους ἀποτυχεῖν, κέρδος ἂν εἴη μέγα τοῖς
not of-the part to-fail gain — would-be great to-the(-ones)
γε νοῦν ἔχουσι. Πᾶσαν τοίνυν ἐπιδεικτέον σπουδὴν,
at-least sense having all therefore must-be-shown zeal
μὴ παντελῶς ἐκπεσεῖν τῆς ἐνδεχομένης τελειότητος· ἀλλὰ
not wholly to-fall-short of-the possible perfection but
τοσοῦτον ἀπ᾽ αὐτῆς κτήσασθαι, ὅσον ἂν ἰδεῖν τοῦ
so-much from it to-acquire as-much-as — to-see of-the
ζητουμένου χωρήσωμεν. Τάχα γὰρ τὸ οὕτως ἔχειν,
sought we-may-have-room perhaps for the thus to-be-disposed
ὡς ἀεὶ θέλειν ἐν τῷ καλῷ τὸ πλέον ἔχειν, ἡ τῆς
as always to-wish in the good the more to-have the of-the
ἀνθρωπίνης φύσεως τελειότης ἐστί. Δοκεῖ δέ μοι καλῶς
human nature perfection is it-seems and to-me well
ἔχειν τῇ Γραφῇ περὶ τούτου συμβούλῳ χρήσασθαι.
to-be with-the Scripture about this as-counselor to-use
Φησὶ γάρ που διὰ τῆς Ἡσαΐου προφητείας ἡ θεία
it-says for somewhere through the of-Isaiah prophecy the divine
φωνή· «Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς
voice look into Abraham the father your and into
Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς.» Ταῦτα γὰρ πάντως ὁ
Sarah the(-one) travailing-with you these(-things) for wholly the
λόγος τοῖς ἔξω τῆς ἀρετῆς πλανωμένοις διακελεύεται,
word to-the(-ones) outside of-the virtue wandering commands
ἵνα, καθάπερ οἱ ἐν πελάγει τῆς εὐθείας τοῦ λιμένος
that just-as the(-ones) in (the)-sea from-the straight-course of-the harbor
παρενεχθέντες, κατὰ τὸ φανὲν σημεῖον τῆς πλάνης
carried-aside by the appearing sign from-the wandering
ἑαυτοὺς ἐπανάγουσιν, ἢ πυρσὸν ἰδόντες ἀπὸ ὕψους
themselves bring-back either (a)-beacon having-seen from (a)-height

αἰρόμενον, ἢ κορυφήν τινος ἀκρωρείας ἀναφανεῖσαν, τὸν
raised or (a)-peak of-some mountain-ridge having-appeared in-the
αὐτὸν τρόπον τοὺς ἀκυβερνήτῳ τῇ διανοίᾳ κατὰ τὴν τοῦ
same manner the(-ones) with-rudderless the mind on the of-the
βίου θάλασσαν πλανωμένους, τῷ κατὰ τὴν Σάῤῥαν καὶ
life sea wandering by-the after — Sarah and
Ἀβραὰμ ὑποδείγματι πάλιν κατευθύνῃ πρὸς τὸν λιμένα τοῦ
Abraham example again it-might-direct toward the harbor of-the
θείου θελήματος. Ἐπειδὴ γὰρ πρὸς τὸ θῆλύ τε καὶ ἄῤῥεν
divine will since for into the female both and male
ἡ ἀνθρωπίνη μεμέρισται φύσις, καὶ ἀμφοτέροις ἐπίσης
the human has-been-divided nature and to-both equally
κατ᾽ ἐξουσίαν ἡ πρὸς ἀρετὴν καὶ κακίαν αἵρεσις πρόκειται·
at liberty the toward virtue and vice choice lies-before
διὰ τοῦτο ἑκατέρῳ τμήματι τὸ κατάλληλον τῆς ἀρετῆς
because-of this to-each section the fitting of-the virtue
ὑπόδειγμα παρὰ τῆς θείας προεδείχθη φωνῆς, ἵνα πρὸς
example by the divine was-shown-beforehand voice that toward
τὸ συγγενὲς ἑκάτεροι βλέποντες, πρὸς μὲν τὸν Ἀβραὰμ οἱ
the kindred each looking toward indeed — Abraham the
ἄνδρες, πρὸς δὲ τὴν Σάῤῥαν τὸ ἕτερον μέρος. ἀμφότεροι
men toward and — Sarah the other part both
διὰ τῶν οἰκείων ὑποδειγμάτων πρὸς τὸν κατ᾽ ἀρετὴν
through the own examples toward the in virtue
βίον διευθύνοιντο. Ἴσως δ᾽ ἂν τοίνυν ἐξαρκέσειε καὶ ἡμῖν
life might-be-directed perhaps and — therefore might-suffice also for-us
ἑνός τινος τῶν κατὰ τὸν βίον εὐδοκίμων ἡ μνήμη τὴν
of-one some of-the in the life well-reputed(-men) the memory the
τοῦ πυρσοῦ χρείαν πληρῶσαι, καὶ ὑποδεῖξαι, πῶς ἐστι
of-the beacon need to-fill and to-show how it-is
δυνατὸν τῷ ἀκλύστῳ τῆς ἀρετῆς λιμένι τὴν ψυχὴν
possible in-the unwashed-by-waves of-the virtue harbor the soul

καθορμίσαι, μηδαμοῦ ταῖς τοῦ βίου ζάλαις ἐγχειμασθεῖσαν,
to-anchor nowhere by-the of-the life squalls storm-tossed
μηδὲ κατὰ τὰς ἐπαλλήλους τῶν παθῶν τρικυμίας τῷ
nor in the successive of-the passions great-waves in-the
βυθῷ τῆς κακίας ἐννανα γήσασαν.
depth of-the vice shipwrecked

II · BIRTH, EXILE, AND THE BUSH

Great lives are recorded to be imitated, and no reader need be a Chaldean or a princess's foster son. Moses is chosen. Born under the tyrant's law against male infants, he was set adrift on the Nile in a chest, found by the king's daughter, and nursed by his mother. He killed an Egyptian to defend a Hebrew, withdrew to a foreigner who gave him his daughter, and kept sheep until a light blazed from a bush and a voice bade him loose his sandals. Sent back with signs, he met Aaron; Pharaoh made the brickwork harsher, and Moses' serpent ate the sorcerers'.

Τάχα γὰρ καὶ τούτου χάριν ἡ τῶν ὑψηλῶν ἐκείνων 3
perhaps for also of-this for-the-sake the of-the lofty those
πολιτεία δι᾽ ἀκριβείας ἱστόρηται, ὡς ἂν διὰ τῆς τῶν
way-of-life with exactness has-been-recorded that — through the of-the(-ones)
προκατωρθωκότων μιμήσεως ὁ ἑφεξῆς βίος πρὸς τὸ
having-succeeded-before imitation the following life toward the
ἀγαθὸν ἀπευθύνοιτο. Τί οὖν, ἐρεῖ τις, εἰ μήτε Χαλδαῖος
good might-be-directed what then will-say someone if neither (a)-Chaldean
ἐγὼ, ὥσπερ ὁ Ἀβραὰμ μνημονεύεται, μήτε τῆς θυγατρὸς
I as — Abraham is-remembered nor of-the daughter
τοῦ Αἰγυπτίου τρόφιμος, ὡς περὶ τοῦ Μωϋσέως ὁ λόγος
of-the Egyptian (a)-foster-child as about — Moses the account
κατέχει, μηδόλως ἐν τοῖς τοιούτοις πρὸς τινὰ τῶν ἀρχαίων
holds in-no-way in the such(-things) toward any of-the ancients

ἔχων τι κατὰ τὸν βίον κατάλληλον· πῶς εἰς τὴν
having anything in the life corresponding how into the
αὐτὴν τάξιν ἑνὶ τούτων ἐμαυτὸν καταστήσω, μὴ ἔχων
same rank with-one of-these myself shall-I-set not having
ὅπως τὸν τοσοῦτον ἀφεστῶτα διὰ τῶν ἐπιτηδευμάτων
how the(-one) so-far standing-off through the pursuits
μιμήσωμαι; Πρὸς ὃν ἐροῦμεν, ὅτι οὔτε τῷ Χαλδαῖον
I-may-imitate to whom we-shall-say that neither by-the (a)-Chaldean
εἶναι κακίαν ἢ ἀρετὴν κρίνομεν· οὔτε τῇ ἐν Αἰγύπτῳ ζωῇ,
to-be vice or virtue we-judge nor by-the in Egypt life
οὔτε τῇ ἐν Βαβυλῶνι διατριβῇ, τοῦ βίου τις τοῦ κατ᾽
nor by-the in Babylon sojourn from-the life anyone the in
ἀρετὴν ἐξοικίζεται· οὐδ᾽ αὖ πάλιν ἐν τῇ Ἰουδαίᾳ μόνον
virtue is-exiled nor in-turn again in — Judea only
γνωστὸς ὁ Θεὸς τοῖς ἀξίοις γίνεται· οὐδὲ Σιών, κατὰ
known — God to-the worthy becomes nor Zion according-to
τὴν πρόχειρον ἔννοιαν, τὸ θεῖόν ἐστιν οἰκητήριον· ἀλλά
the ready notion the divine is dwelling but
τινος λεπτοτέρας ἡμῖν χρεία τῆς διανοίας, καὶ ὀξυτέρας
some subtler for-us (is)-need the understanding and sharper
τῆς ὄψεως, ὡς διιδεῖν ἐκ τῆς ἱστορίας, ποίων
the sight so-as to-discern from the history from-what-sort-of
Χαλδαίων ἢ Αἰγυπτίων πόῤῥω γενόμενοι, καὶ ποίας
Chaldeans or Egyptians far having-become and from-what-sort-of
Βαβυλωνίων αἰχμαλωσίας ἀπολυθέντες, τοῦ μακαριστοῦ
of-Babylonians captivity released the most-blessed
βίου ἐπιβησόμεθα. Μωϋσῆς τοίνυν ἡμῖν εἰς ὑπόδειγμα βίου
life we-shall-attain-to Moses therefore for-us as (an)-example of-life
προτεθήτω τῷ λόγῳ· οὗ τὸν βίον πρῶτον ἐν ἐπιδρομῇ
let-be-set-forth in-the discourse whose the life first in summary
διελθόντες, καθὼς παρὰ τῆς θείας φωνῆς μεμαθήκαμεν,
having-gone-through as from the divine voice we-have-learned

οὕτω τὴν πρόσφορον τῇ ἱστορίᾳ διάνοιαν εἰς ἀρετῆς
thus the suited to-the history sense for of-virtue
ὑποθήκην ἀναζητήσομεν, δι᾽ ἧς τὸν τέλειον ὡς ἐν
counsel we-shall-seek-out through which the perfect as among
ἀνθρώποις βίον ἐπιγνωσόμεθα. Λέγεται τοίνυν ὁ Μωϋσῆς
men life we-shall-come-to-know is-said therefore — Moses
τεχθῆναι μὲν, ὅτε ζωογονεῖσθαι τὸ ἄῤῥεν ἐν τοῖς
to-have-been-born indeed when to-be-kept-alive the male among the(-ones)
τικτομένοις ὁ τοῦ τυράννου νόμος διεκώλυε, προλαβεῖν
being-born the of-the tyrant law prevented to-have-anticipated
δὲ τῇ χάριτι πᾶσαν τὴν ἀπὸ τοῦ χρόνου γινομένην
but by-the grace all the from the time coming
συνεισφοράν· καὶ εὐθὺς ἀπὸ σπαργάνων ἀστεῖος ὀφθεὶς,
contribution and immediately from swaddling-clothes fair appearing
ὄκνον ἐμποιῆσαι τοῖς γεννησαμένοις, θανάτῳ τὸν
hesitation to-have-produced in-the(-ones) having-begotten(-him) by-death the
τοιοῦτον ἐξαφανίσαι. Εἶθ᾽ ὡς ὑπερίσχυεν ἡ ἀπειλὴ τοῦ
such(-a-one) to-make-disappear then as prevailed the threat of-the
τυράννου, μὴ ἁπλῶς ἐῤῥιφῆναι τῷ ῥείθρῳ τοῦ
tyrant not simply to-have-been-thrown into-the stream of-the
Νείλου, ἀλλ᾽ ἐντεθέντα κιβωτῷ τινι, ἀσφάλτῳ καὶ πίσσῃ
Nile but placed in-chest some with-asphalt and with-pitch
κατὰ τὰς ἁρμονίας διαχρισθείσῃ, οὕτω δοθῆναι τῷ
at the joints smeared-through thus to-have-been-given to-the
ῥεύματι (τοῦτο γὰρ οἱ δι᾽ ἐπιμελείας τὰ κατ᾽
current this for the(-ones) with care the(-things) concerning
αὐτὸν ἱστορήσαντες διηγήσαντο)· θείας δέ τινος δυνάμεως
him having-recorded narrated divine but some power
τὴν κιβωτὸν κυβερνώσης, ἐπί τινα κατὰ τὸ πλάγιον ὄχθην
the chest steering upon some at the side bank
ἐξορμισθῆναι, αὐτομάτως τῆς κιβωτοῦ κατ᾽ ἐκεῖνο τὸ
to-have-been-brought-to-anchor of-itself the chest at that the

μέρος ὑπὸ τῆς φορᾶς τῶν κυμάτων ἐκκυμανθείσης. Τῆς δὲ
part by the motion of-the waves washed-out the and
θυγατρὸς τοῦ βασιλέως ἐπιούσης κατὰ τοὺς λειμῶνας τῆς
daughter of-the king coming-upon along the meadows of-the
ὄχθης ἐκείνης, ᾗ ἔτυχεν ἡ κιβωτὸς ἐπωκείλασα, εὕρεμα
bank that where it-happened the chest having-run-aground (a)-find
γενέσθαι τῇ βασιλίδι, βρεφικῶς ἐμβοήσας τῇ λάρνακι·
to-have-become for-the princess like-a-baby having-cried-out in-the box
ὀφθεὶς δὲ μετὰ τῆς ἐπιφαινομένης αὐτῷ χάριτος,
having-been-seen and with the shining-upon him grace
εὐθὺς οἰκειώσασθαι δι᾽ εὐνοίας τὴν βασιλίδα, καὶ εἰς
at-once to-have-won-over through goodwill the princess and into
υἱοῦ τάξιν ἀναληφθῆναι. Ἀποστραφεὶς δὲ φυσικῶς τὴν
of-(a)-son rank to-have-been-taken-up having-turned-away and by-nature the
ἀλλόφυλον θηλὴν, ἐπινοίᾳ τινὸς τῶν πρὸς γένους
foreign breast by-(the)-contrivance of-one of-the by family
οἰκείων, ἀνατραφῆναι τῷ μητρῴῳ μαζῷ· ἐκβὰς δὲ
kin to-have-been-nursed at-the maternal breast having-passed-out-of and
ἤδη τὴν ἡλικίαν τῶν παίδων ἐν βασιλικῇ τῇ τροφῇ, καὶ
now the age of-the children in royal the upbringing and
παιδευθεὶς τὴν ἔξωθεν παίδευσιν, ὃ δόξης ἐνομίζετο
having-been-educated-in the outside education which of-glory was-thought
παρὰ τοῖς ἔξωθεν, οὐχ εἵλετο ἔτι καταδέξασθαι τὴν
among the(-ones) outside not he-chose still to-consent the
σεσοφισμένην ἐκείνην ὁμολογεῖν μητέρα, ᾗπερ εἰς υἱοῦ
clever that to-confess (as)-mother by-whom-very into of-(a)-son
τάξιν εἰσεποιήθη, ἀλλὰ ἐπὶ τὴν κατὰ φύσιν ἐπανελθεῖν
rank he-had-been-adopted but to the by nature to-have-returned
πάλιν, καὶ τοῖς ὁμοφύλοις ἐγκαταμιχθῆναι. Μάχης δὲ
again and with-the kinsmen to-have-mingled (a)-fight and
συστάσης Ἑβραίῳ τινὶ πρὸς Αἰγύπτιον, συμμαχῆσαί τε
having-arisen for-Hebrew certain against (an)-Egyptian to-have-fought-alongside both

τῷ οἰκείῳ, καὶ ἀνελεῖν τὸν ἀλλόφυλον. Εἶτα συμπλακέντων
the kinsman and to-have-killed the foreigner then having-grappled
ἀλλήλοις Ἑβραίων δύο τινῶν, καταστέλλειν ἐν αὐτοῖς
with-one-another of-Hebrews two certain to-quell among them
τὴν φιλονεικίαν πειρᾶσθαι. Συμβουλεύσας καλῶς ἔχειν,
the quarrel to-have-tried having-advised well to-be
ἀδελφοὺς ὄντας, μὴ θυμὸν διαιτητὴν ποιεῖσθαι τῶν
brothers being not anger (as)-arbiter to-make of-the
ἀμφισβητημάτων, ἀλλὰ τὴν φύσιν. Ἀπωσθεὶς δὲ
disputes but the nature having-been-thrust-away and
παρὰ τοῦ πρὸς ἀδικίαν βλέποντος, ἀφορμὴν τῆς μείζονος
by the(-one) toward injustice looking (the)-occasion of-the greater
φιλοσοφίας τὴν ἀτιμίαν ταύτην ποιήσασθαι· καὶ τῆς μετὰ
philosophy the dishonor this to-have-made and from-the with
τῶν πολλῶν συνδιαγωγῆς πόῤῥω γενόμενος, ἰδιάσαι
the many common-life far having-become to-have-lived-apart
τῷ μετὰ ταῦτα βίῳ, κηδεύσας τινὶ τῶν ἀλλοφύλων,
in-the after these(-things) life having-married-into one of-the foreigners
ἀνδρὶ διορατικῷ τοῦ βελτίονος, καὶ κρίνειν ἤθη τε
(a)-man discerning of-the better and to-judge characters both
καὶ βίον ἀνθρώπων ἐπεσκεμμένῳ, ὃς διὰ μιᾶς πράξεως,
and life of-men having-considered who through one deed
λέγω δὴ τῆς κατὰ τῶν ποιμένων ὁρμῆς, ἐνιδὼν
I-mean indeed the against the shepherds rush having-seen-in
τοῦ νέου τὴν ἀρετὴν, ὅπως οὐ πρὸς οἰκεῖον βλέπων
of-the youth the virtue how not toward own looking
κέρδος, τοῦ δικαίου ὑπερεμάχησεν, ἀλλ᾽ αὐτὸ τὸ δίκαιον
gain for-the just he-fought but itself the just
τίμιον τῇ ἰδίᾳ φύσει κρίνων, τὴν ἀδικίαν τῶν ποιμένων
precious by-the own nature judging the injustice of-the shepherds
ἐκόλασε τῶν εἰς ἐκεῖνον πεπλημμεληκότων οὐδὲν,
he-punished of-the(-ones) against him having-offended nothing

ἀγασθεὶς ἐπὶ τούτοις τὸν νέον, καὶ τοῦ πολυταλάντου
having-admired for these(-things) the youth and than-the much-talented
πλούτου τιμιωτέραν αὐτοῦ τὴν ἀρετὴν ἐν τῇ φαινομένῃ
wealth more-precious his the virtue in the apparent
πενίᾳ κρίνας, συνοικίζεται αὐτῷ τὴν θυγατέρα, καὶ
poverty having-judged he-joins-in-marriage to-him the daughter and
κατ᾽ ἐξουσίαν ἐφῆκε τὸν καταθύμιον μετιέναι βίον.
at liberty allowed the to-(his)-mind to-pursue life

4 Τῷ δὲ ἦν ὄρειός τε καὶ ἰδιάζουσα ἡ ζωὴ,
for-him and was mountain-dwelling both and solitary the life
πάσης ἀγοραίου τύρβης ἀπηλλαγμένη, ἐν τῇ τῶν
from-all marketplace bustle freed in the of-the
προβάτων ἐπιμελείᾳ κατὰ τὴν ἔρημον ἰδιάζοντι. Χρόνου
sheep care in the desert living-apart time
δὲ διαγεγονότος ἐν τῷ τοιούτῳ τῆς ζωῆς εἴδει, φησὶν ἡ
and having-passed in the such of-the life form says the
ἱστορία, φοβερὰν γενέσθαι αὐτῷ θεοφάνειαν, ἐν σταθηρᾷ
history (a)-fearful to-have-come to-him theophany at steady
μεσημβρίᾳ, φωτὸς ἑτέρου ὑπὲρ τὸ ἡλιακὸν φῶς τὰς ὄψεις
noon light another beyond the sun's light the eyes
περιαστράψαντος. Τὸν δὲ ξενισθέντα τῷ ἀήθει τῆς
having-flashed-around the(-one) and astonished by-the unaccustomed of-the
θέας, ἀναβλέψαι τε πρὸς τὸ ὄρος, καὶ ἰδεῖν θάμνον,
sight to-have-looked-up both toward the mountain and to-have-seen (a)-bush
ἀφ᾽ οὗ πυροειδῶς τὸ φέγγος ἐξήπτετο, τῶν δὲ κλάδων τοῦ
from which in-fiery-form the radiance was-kindled the and branches of-the
θάμνου καθάπερ ἐν δρόσῳ τῇ φλογὶ συναναθαλλόντων,
bush as-if in dew with-the flame flourishing-together
εἰπεῖν ταῦτα τὰ ῥήματα πρὸς ἑαυτὸν ἐκεῖνον, ὅτι «Διαβὰς
to-have-said these the words to himself that-man that crossing-over
ὄψομαι τὸ μέγα ὅραμα τοῦτο.» Εἰπόντα δὲ, μηκέτι μόνοις
I-shall-see the great sight this having-spoken and no-longer with-only

τοῖς ὀφθαλμοῖς τὸ θαῦμα τοῦ φωτὸς δέξασθαι· ἀλλ' ὃ
the eyes the wonder of-the light to-have-received but what
πάντων ἐστὶ παραδοξότατον, τὸ καὶ τὴν ἀκοὴν ταῖς ἀκτῖσι
of-all is most-paradoxical that also the hearing with-the rays
τοῦ φέγγους ἐναυγασθῆναι. Πρὸς γὰρ ἀμφοτέρας τὰς
of-the radiance to-have-been-illumined to for both the
αἰσθήσεις ἡ τοῦ φωτὸς μερισθεῖσα χάρις, τὰς μὲν ὄψεις
senses the of-the light divided grace the indeed eyes
ταῖς τῶν ἀκτίνων μαρμαρυγαῖς περιηύγαζε, τὴν δὲ ἀκοὴν
with-the of-the rays flashings shone-around the and hearing
τοῖς ἀκηράτοις δόγμασιν ἐφωταγώγει. Κωλύει γοῦν ἡ
with-the pure teachings enlightened prevents at-any-rate the
τοῦ φωτὸς ἐκείνου φωνὴ προσβῆναι τῷ ὄρει τὸν Μωϋσέα,
of-the light that voice to-approach the mountain — Moses
τοῖς νεκροῖς ὑποδήμασι βεβαρημένον, ἀλλ' ἐκλύσαντα
with-the dead sandals weighed-down but having-loosed
τῶν ποδῶν τὸ ὑπόδημα, οὕτω τῆς γῆς ψαύειν ἐκείνης,
from-the feet the sandal thus the earth to-touch that
ὅση τῷ θείῳ φωτὶ κατελάμπετο. Ἐπὶ τούτοις (χρὴ
as-much-as by-the divine light was-lit-up upon these(-things) it-is-needful
γὰρ οἶμαι μὴ λίαν ἐμβραδύνειν τῇ ψιλῇ τοῦ ἀνδρὸς
for I-think not too-much to-linger on-the bare of-the man
ἱστορίᾳ, τοῖς λόγοις, ὡς ἂν καὶ τῶν προκειμένων
history in-the words that — also on-the(-things) set-before
ἔχοιντο) δυναμωθεὶς τῇ ὀφθείσῃ θεοφανείᾳ, ῥύσασθαι
they-might-hold empowered by-the seen theophany to-rescue
τὸ ὁμόφυλον τῆς δουλείας τῶν Αἰγυπτίων προστάσσεται.
the kindred from-the slavery of-the Egyptians he-is-ordered
Καὶ ὡς ἂν μάλιστα μάθοι τὴν ἐγγινομένην αὐτῷ θεόθεν
and that — most he-might-learn the coming-into him from-God
ἰσχύν, ἐκ τῶν ἐν χερσὶ ποιεῖται τὴν πεῖραν θείῳ
strength from the(-things) in hands he-makes the trial by-divine

προστάγματι. Ἡ δὲ πεῖρα ἦν αὕτη· Ῥάβδος ἐκπεσοῦσα
command the and trial was this (a)-rod having-fallen-out-of
τῆς χειρὸς, ἐψυχώθη, καὶ ζῶον ἐγένετο (δράκων δὲ
the hand was-ensouled and (a)-living-thing became (a)-serpent and
τὸ ζῶον ἦν)· καὶ πάλιν ὑπὸ τῆς χειρὸς ἀναληφθεῖσα,
the living-thing was and again by the hand taken-up
ὅπερ ἦν πρὸ τῆς θηριώσεως, ἐκεῖνο ἐγένετο. Καὶ ἡ
what-very it-was before the becoming-a-beast that it-became and the
τῆς χειρὸς ἐπιφάνεια, νῦν μὲν προβληθεῖσα τοῦ κόλπου,
of-the hand surface now indeed thrust-forth from-the bosom
εἰς χιόνος μετεποιήθη λευκότητα, πάλιν δὲ εἴσω τοῦ αὐτοῦ
into of-snow was-changed whiteness again and inside the same
γενομένη, ἐπὶ τὴν ἰδίαν ἐπανέρχεται φύσιν. Κατιόντος
having-come to the own returns nature going-down
δὲ τοῦ Μωσέως ἐπὶ τὴν Αἴγυπτον, καὶ συνεπαγομένου
and — Moses to — Egypt and bringing-along
τὴν γαμετὴν τὴν ἀλλόφυλον, καὶ τοὺς ἀπ᾽ ἐκείνης αὐτῷ
the wife the foreign and the from her to-him
γεγονότας παῖδας, ὅτε τις καὶ ἄγγελος αὐτῷ συναντῆσαι
born children when some also angel him to-have-met
λέγεται, τὸν περὶ τοῦ θανάτου φόβον ἐπάγων, ὃν ἡ
is-said the about the death fear bringing which the
γυνὴ τῷ αἵματι τῆς περιτομῆς τοῦ παιδὸς ἱλεώσατο·
wife with-the blood of-the circumcision of-the child propitiated
τότε συντυχία γίνεται τοῦ Ἀαρὼν, καὶ αὐτοῦ θεόθεν
then (a)-meeting takes-place — with-Aaron also him from-God
παρορμηθέντος πρὸς τὴν συνάντησιν. Εἶτα παρ᾽ ἀμφοτέρων
urged toward the meeting then by both
ὁ ἐν Αἰγύπτῳ λαὸς εἰς ἐκκλησίαν κοινὴν συναγείρεται, καὶ
the in Egypt people into assembly common is-gathered and
ἡ τῆς δουλείας ἀπαλλαγὴ τοῖς πεπονηκόσιν ἤδη τῇ
the from-the slavery release to-the(-ones) having-toiled already in-the

κακοπαθείᾳ τῶν ἔργων περιαγγέλλεται, καὶ πρὸς αὐτὸν
hardship of-the works is-announced and to himself
τὸν τύραννον ὁ παρὰ τούτου γίνεται λόγος. Ἀγανάκτησις
the tyrant the from him comes word indignation
ἐπὶ τούτοις τοῦ τυράννου, κατά τε τῶν ἐπιστατούντων
at these(-things) of-the tyrant against both the(-ones) presiding-over
τοῖς ἔργοις, καὶ κατὰ τῶν Ἰσραηλιτῶν αὐτῶν μείζων
the works and against the Israelites themselves greater
ἢ πρότερον· καὶ ὁ τῆς πλινθείας φόρος ἐπαύξεται, καὶ
than before and the of-the brick-making tribute is-increased and
ἐπιπονώτερον τὸ ἐπίταγμα καταπέμπεται, οὐ τῷ πηλῷ
more-toilsome the injunction is-sent-down not with-the clay
μόνῳ κακοπαθούντων, ἀλλὰ καὶ περὶ τὸ ἄχυρόν τε καὶ
alone suffering-hardship but also about the straw both and
τὴν καλάμην ταλαιπωρούντων. Τοῦ δὲ Φαραὼ (τοῦτο
the stubble being-wretched — and Pharaoh this
γὰρ ἦν ὄνομα τῷ τυράννῳ τῶν Αἰγυπτίων) τοῖς θεόθεν
for was (the)-name for-the tyrant of-the Egyptians to-the from-God
παρ᾽ αὐτοῦ γενομένοις σημείοις ἀντισοφιστεύειν διὰ
by him coming-about signs to-counter-with-sophistries through
τῆς τῶν γοήτων μαγγανείας ἐπιχειροῦντος, ὅτε πάλιν
the of-the sorcerers trickery attempting when again
τοῦ Μωϋσέως ἐν ὀφθαλμοῖς τῶν Αἰγυπτίων τὴν ῥάβδον
— Moses in (the)-eyes of-the Egyptians the rod
ἑαυτοῦ θηριώσαντος, τὸ ἴσον ἐνομίσθη θαυματοποιεῖν
his-own having-turned-into-a-beast the equal was-thought to-work-wonders
ἡ γοητεία ἐν ταῖς τῶν μάγων ῥάβδοις. Καὶ ἠλέγχθη
the sorcery in the of-the magicians rods and was-refuted
διὰ τῆς ἐνεργείας τὸ σόφισμα· δείξαντος τοῦ δράκοντος
through the working the sophism having-shown the serpent
τοῦ ἐκ τῆς Μωϋσέως ῥάβδου μεταβληθέντος ἐκ τοῦ
the from the of-Moses rod changed by the

διαφαγεῖν τὰ γοητικὰ ξύλα, τοὺς ὄφεις δῆθεν, ὅτι οὐδεμίαν
to-eat-up the sorcerous sticks the snakes supposedly that no
ἀμυντικὴν οὐδὲ ζωτικήν τινα δύναμιν εἶχον αἱ τῶν γοήτων
defensive nor vital any power had the of-the sorcerers
ῥάβδοι, πλὴν τοῦ σχήματος, ὃ τοῖς ὀφθαλμοῖς τῶν
rods except the shape which to-the eyes of-the
εὐεξαπατήτων ἡ γοητεία σοφισαμένη παρέδειξε. Τότε
easily-deceived the sorcery having-contrived displayed then
συμφρονοῦντας ἰδὼν ὁ Μωϋσῆς τῷ καθηγουμένῳ τῆς
agreeing having-seen — Moses with-the leader of-the
κακίας πᾶν τὸ ὑποχείριον, κοινὴν ἐπάγει παντὶ τῷ ἔθνει
vice all the subject(-people) common brings-on all the nation
τῶν Αἰγυπτίων πληγὴν, οὐδένα τῆς τῶν κακῶν πείρας
of-the Egyptians (a)-blow no-one from-the of-the evils experience
ὑπεξελόμενος. Συνεκινεῖτο δὲ αὐτῷ πρὸς τὴν τοιαύτην
having-exempted were-moved-with and him toward the such
κατὰ τῶν Αἰγυπτίων ὁρμὴν, οἷόν τις στρατὸς ὑποχείριος,
against the Egyptians assault as some army subject
αὐτὰ τὰ στοιχεῖα τῶν ὄντων, τὰ ἐν τῷ παντὶ
very the elements of-the beings the(-things) in the universe
θεωρούμενα, γῆ τε καὶ πῦρ, καὶ ἀὴρ, καὶ ὕδωρ, τῇ
observed earth both and fire and air and water with-the
προαιρέσει τῶν ἀνθρώπων τὰς ἐνεργείας συνεξαλλάσσοντα.
choice of-the men the activities changing-along

III · THE PLAGUES AND THE SEA

The same power punished the Egyptians and spared the Hebrews: blood, frogs, darkness, hail, and the rest fell on one people and not the other, and the death of the firstborn passed over doors marked with blood. Pharaoh's army overtook the departing people; at the Red Sea Moses' rod split the water like a crack running through glass, and when the Egyptians followed, the sea closed over them. Beyond it bitter water was sweetened with wood, twelve springs and seventy palms refreshed them, a rock gave water, and food fell as dew.

Τῇ γὰρ αὐτῇ δυνάμει, κατὰ τὸν αὐτὸν καὶ χρόνον καὶ
by-the for same power at the same both time and
τόπον, τό τε ἀτακτοῦν ἐκολάζετο, καὶ ἀπαθὲς διέμενε
place the both disorderly was-punished and unharmed remained
τὸ κακίας ἐλεύθερον. Πάσης γὰρ τότε τῆς τῶν ὑδάτων
the of-vice free all for then the of-the waters
φύσεως κατὰ τὴν Αἴγυπτον τῷ προστάγματι Μωϋσέως
nature in — Egypt at-the command of-Moses
εἰς αἷμα τραπείσης, ὡς καὶ τοὺς ἰχθύας, εἰς σαρκώδη
into blood having-been-turned so-that also the fish into fleshy
παχύτητα τοῦ ὕδατος μετατεθέντος, διαφθαρῆναι, τοῖς
thickness the water having-been-changed to-perish for-the
Ἑβραίοις ἀρυομένοις μόνοις ὕδωρ τὸ αἷμα ἦν. Ὅθεν ἔσχε
Hebrews drawing alone water the blood was whence had
καὶ ἡ μαγγανεία καιρὸν ἐν τῷ παρὰ τοῖς Ἑβραίοις
also the trickery (an)-occasion in the among the Hebrews
εὑρισκομένῳ ὕδατι τὸ αἱματῶδες εἶδος παρασοφίσασθαι.
found water the bloody form to-counterfeit
Ὡσαύτως καὶ τῶν βατράχων ἐφερψάντων τῇ Αἰγύπτῳ
likewise also the frogs having-crept-over — Egypt
κατὰ τὸ ἀθρόον (ὧν ἡ γένεσις οὐκ ἀκολουθίᾳ τινὶ
in the mass whose the generation not by-sequence any

φύσεως νενομισμένῃ πρὸς τοσοῦτον ἐχέθη πλῆθος·
of-nature customary to so-great was-poured-out multitude
ἀλλ᾽ αὐτὸ τὸ πρόσταγμα, τῆς τῶν βατράχων συστάσεως
but itself the command of-the of-the frogs formation
τὴν ἀναφανεῖσαν τότε τοῦ ζώου φύσιν ἐκαινοτόμησε) τὸ
the having-appeared then of-the creature nature made-new the
μὲν Αἰγύπτιον ἅπαν τοῖς θηρίοις τούτοις κατὰ τὰς
indeed Egyptian all(-people) by-the beasts these in the
οἰκήσεις στενοχωρούμενον κατεφθείρετο· τῶν δὲ Ἑβραίων
dwellings crowded perished of-the but Hebrews
τῆς ἀηδίας ταύτης ἐκαθάρευεν ἡ ζωή. Οὕτως ὁ ἀὴρ
from-the unpleasantness this was-pure the life thus the air
τοῖς Αἰγυπτίοις μὲν οὐδεμίαν νυκτὸς καὶ ἡμέρας παρεῖχε
for-the Egyptians indeed no of-night and of-day afforded
διάκρισιν, ἐν ὁμοίῳ διαμενόντων τῷ ζόφῳ· τοῖς δὲ Ἑβραίοις
distinction in like remaining the gloom for-the but Hebrews
οὐδὲν ἐν τούτοις ἐκαινοτομεῖτο παρὰ τὸ σύνηθες. Καὶ
nothing in these(-things) was-made-new beyond the accustomed and
τἄλλα πάντα, κατὰ τὸν αὐτὸν τρόπον· ἡ χάλαζα, τὸ
the-other(-things) all in the same manner the hail the
πῦρ, αἱ φλυκτίδες, οἱ σκνίπες, αἱ κυνόμυιαι, τῶν ἀκρίδων
fire the boils the gnats the dog-flies of-the locusts
τὸ νέφος, κατὰ μὲν τῶν Αἰγυπτίων ἕκαστον, καθὸ
the cloud against indeed the Egyptians each as
πέφυκεν, ἐνήργει· οἱ δὲ Ἑβραῖοι φήμαις καὶ διηγήμασι
it-is-by-nature was-active the but Hebrews by-reports and narratives
τὸ τῶν συνοικούντων πάθος ἐγίνωσκον, οὐδεμίαν ἐν
the of-the(-ones) dwelling-together suffering knew no in
ἑαυτοῖς προσβολὴν τῶν τοιούτων δεχόμενοι. Εἶτα τῶν
themselves onset of-the such(-things) receiving then of-the
πρωτοτόκων ὁ ὄλεθρος ἀκριβεστέραν ἐποίει τοῦ Ἑβραίου
firstborn the destruction more-exact made of-the Hebrew

πρὸς τὸν Αἰγύπτιον τὴν διάκρισιν· τῶν μὲν ἐπὶ τῇ τῶν
from the Egyptian the distinction the(-ones) indeed at the of-the
φιλτάτων ἀπωλείᾳ συγχεομένων τοῖς θρήνοις, τῶν δὲ ἐν
dearest loss overwhelmed with-the laments the(-ones) but in
ἡσυχίᾳ πάσῃ καὶ ἀσφαλείᾳ διαμενόντων· οἷς ἡ σωτηρία
quiet all and safety remaining for-whom the salvation
τῇ προσχύσει τοῦ αἵματος κατησφαλίσθη κατὰ πᾶσαν
by-the pouring of-the blood was-made-secure at every
εἴσοδον, ἑκατέρωθεν τῶν σταθμῶν μετὰ τῆς ἐπεζευγμένης
entrance on-both-sides of-the doorposts with the joined
αὐτοῖς φλιᾶς κατασημανθέντων διὰ τοῦ αἵματος. Ἐπὶ
to-them lintel marked through the blood upon
τούτοις τῶν Αἰγυπτίων ἐπὶ τῇ τῶν πρωτοτόκων συμφορᾷ
these(-things) the Egyptians at the of-the firstborn calamity
βεβλημένων, καὶ καθ' ἑαυτὸν ἑκάστου, καὶ κοινῇ πάντων
stricken and by himself each and in-common all
ὀλοφυρομένων τὰ πάθη· καθηγεῖται τῆς ἐξόδου τοῖς
lamenting the sufferings leads the exodus for-the
Ἰσραηλίταις ὁ Μωϋσῆς, προπαρασκευάσας αὐτοὺς, ἐπὶ
Israelites — Moses having-prepared-beforehand them on
σχήματι χρήσεως μεθ' ἑαυτῶν τὸν τῶν Αἰγυπτίων πλοῦτον
(the)-pretext of-loan with themselves the of-the Egyptians wealth
ἀνακομίσασθαι. Καὶ τριῶν ἡμερῶν ὁδὸν ἔξω τῆς
to-carry-off and of-three days (a)-journey outside —
Αἰγύπτου γεγενημένων, πάλιν φησὶν ἡ ἱστορία, χαλεπὸν
of-Egypt having-come again says the history (it)-hard
ποιήσασθαι τὸν Αἰγύπτιον, τὸ μὴ παραμεῖναι τῇ δουλείᾳ
to-have-taken the Egyptian that not to-remain in-the slavery
τὸν Ἰσραήλ· καὶ πολεμικῶς ἅπαν συσκευάσαντα τὸ
— Israel and warlike all having-equipped the
ὑπήκοον, διὰ τῆς ἱππικῆς δυνάμεως ἐπιδραμεῖν τῷ
subject(-people) through the horse power to-have-run-upon the

λαῷ. Τὸν δὲ θεασάμενον τὴν τῶν ἵππων τε καὶ
people the(-people) and having-beheld the of-the horses both and
τῶν ὅπλων παρασκευὴν, ἀπειροπόλεμον ὄντα, καὶ τῶν
of-the arms preparation inexperienced-in-war being and of-the
τοιούτων θαυμάτων ἀγύμναστον, εὐθὺς καταπλαγῆναι τῷ
such wonders unpracticed at-once to-have-been-struck with-the
φόβῳ, καὶ κατὰ τοῦ Μωϋσέως συνίστασθαι. Ὅτε καὶ τὸ
fear and against — Moses to-have-banded-together when also the
παραδοξότατον περὶ τοῦ Μωϋσέως ἡ ἱστορία λέγει, διχῇ
most-paradoxical about — Moses the history says in-two
ταῖς ἐνεργείαις διατεμνόμενον, τῇ μὲν φωνῇ καὶ τῷ
in-the activities being-divided with-the indeed voice and with-the
λόγῳ παραθαρσύνειν τε τοὺς Ἰσραηλίτας, καὶ τὰς ἀγαθὰς
word to-encourage both the Israelites and the good
ἔχειν ἐλπίδας παρακελεύεσθαι· ἔνδοθεν δὲ τῇ διανοίᾳ τῷ
to-have hopes to-exhort within and in-the mind —
Θεῷ προσάγειν τὴν ὑπὲρ τῶν κατεπτηχότων ἱκετηρίαν·
to-God to-bring the for the(-ones) cowering supplication
καὶ ὅπως ἂν διαφύγῃ τὸν κίνδυνον, διὰ τῆς ἄνωθεν
and how — he-might-escape the danger through the from-above
συμβουλῆς ὁδηγεῖσθαι, αὐτοῦ τοῦ Θεοῦ (καθώς φησιν ἡ
counsel to-be-guided himself — God as says the
ἱστορία) τῆς ἀλαλήτου κραυγῆς ἐπαΐοντος. Νεφέλης δὲ
history the unspoken cry hearing (a)-cloud and
τοῦ λαοῦ θείᾳ δυνάμει καθηγουμένης, οὐ κατὰ τὴν
the people by-divine power leading not according-to the
κοινὴν φύσιν (οὐδὲ γὰρ ἐξ ἀτμῶν τινων ἢ ἀναθυμιάσεων
common nature nor for from vapors some or exhalations
ἡ σύστασις αὐτῆς ἦν, παχυνομένου τοῖς ἀτμοῖς τοῦ
the formation its was being-thickened by-the vapors the
ἀέρος, διὰ τῆς ὁμιχλώδους συστάσεως, καὶ πρὸς ἑαυτὴν
air through the misty formation and toward itself

συμπιλουμένου τοῖς πνεύμασιν), ἀλλὰ κρεῖττόν τι
compressed by-the winds but greater something
καὶ ὑψηλότερον τῆς ἀνθρωπίνης καταλήψεως ἐκείνῃ τῇ
and loftier than-the human comprehension in-that the
νεφέλῃ, τῆς Γραφῆς μαρτυρούσης, τοιοῦτον τὸ θαῦμα ἦν, ὡς
cloud the Scripture bearing-witness such the wonder was that
καὶ τῆς ἡλιακῆς ἀκτῖνος θερμῶς ἐπιλαμπούσης, διατείχισμα
also the sun's ray hotly shining-on (a)-wall-of-defense
πρὸς τὸν λαὸν εἶναι, σκιάζουσάν τε τὸ ὑποκείμενον
for the people to-be shading both the(-thing) lying-under
καὶ λεπτῇ δρόσῳ τὸ φλογῶδες τοῦ ἀέρος ὑπονοτίζουσαν·
and with-fine dew the fiery of-the air moistening
καὶ διὰ τῆς νυκτὸς πῦρ γίνεσθαι, ἀφ' ἑσπέρας εἰς ὄρθρον
and through the night fire to-become from evening to dawn
τῷ ἰδίῳ φωτὶ τοῖς Ἰσραηλίταις δᾳδουχοῦσαν τὸ φέγγος.
with-the own light for-the Israelites torch-bearing the radiance
Πρὸς ταύτην αὐτός τε βλέπων ὁ Μωϋσῆς, καὶ τὸν 6
toward this himself both looking — Moses and the
λαὸν ἀκολουθεῖν τῷ φαινομένῳ διδάξας· ἐπειδὴ κατὰ τὸ
people to-follow the appearing(-thing) having-taught when at the
Ἐρυθραῖον ἐγένοντο πέλαγος, ἐκεῖ τῆς νεφέλης πρὸς τὴν
Red they-came sea there the cloud for the
πορείαν καθηγουμένης, πανστρατιᾷ τῶν Αἰγυπτίων τὸν
journey leading with-the-whole-army the Egyptians the
λαὸν ἐκ τῶν κατόπιν κυκλωσαμένων, οὐδεμιᾶς αὐτοῖς
people from the behind having-encircled no for-them
οὐδαμόθεν τῶν δεινῶν φυγῆς περιούσης, πολεμίων καὶ
from-anywhere of-the terrors escape remaining between-enemies and
ὕδατος κατὰ τὸ μέσον ἀπειλημμένοις· τότε, τὸ πάντων
water in the middle cut-off then the of-all
ἀπιστότατον, θείᾳ δυνάμει παρορμηθεὶς ὁ Μωϋσῆς
most-incredible by-divine power urged-on — Moses

κατειργάσατο. Προσεγγίσας γὰρ κατὰ τὴν ἠϊόνα τῷ
accomplished having-drawn-near for at the shore to-the
ὕδατι, πλήσσει τῇ ῥάβδῳ τὸ πέλαγος· τὸ δὲ πρὸς
water he-strikes with-the rod the sea it and at
τὴν πληγὴν ὑπεσχίζετο. Καὶ καθάπερ ἐπὶ τῆς ὑέλου
the blow was-split-underneath and just-as in the glass
πέφυκε γίνεσθαι, εἰ κατά τι μέρος αὐτῆς ἀρχὴν ἡ
it-is-wont to-happen if at some part of-it (a)-beginning the
ῥῆξις λάβῃ, κατ᾽ εὐθεῖαν πρὸς τὸ ἕτερον διεξέρχεται
crack takes in straight to the other passes-through
πέρας· οὕτω παντὸς τοῦ πελάγους ἐκείνου, κατὰ τὸ ἄκρον
end thus all the sea that at the edge
ὑποῤῥαγέντος τῇ ῥάβδῳ, ἐπὶ τὴν ἀντικειμένην ὄχθην καὶ
broken-underneath by-the rod to the opposite bank also
ἡ τῶν κυμάτων ῥῆξις ἐπέρασε. Καὶ καταβὰς ἐπὶ τὸ
the of-the waves breaking passed-across and having-gone-down to the
βάθος ὁ Μωϋσῆς, καθ᾽ ὃ διετμήθη τὸ πέλαγος, σὺν
depth — Moses at which was-cut-through the sea with
παντὶ τῷ λαῷ βύθιος ἦν, ἐν ἀβρόχῳ τε καὶ ἡλιουμένῳ
all the people in-the-deep he-was in unwetted both and sunlit
τῷ σώματι· καὶ πεζῇ τὰς ἀβύσσους ἐν ξηρῷ τῷ πυθμένι
the body and on-foot the abysses in dry the bottom
τῆς θαλάσσης διεξερχόμενος, οὐκ ἐδεδοίκει τὴν αὐτοσχέδιον
of-the sea passing-through not he-feared the improvised
ἐκείνην ἐκ κυμάτων τειχοποιΐαν, ἔνθεν καὶ ἔνθεν, τείχους
that from waves wall-building on-this-side and on-that (a)-wall
δίκην, παραπεπηγυίας αὐτοῖς ἐκ πλαγίων τῆς ἅλμης.
like fixed-alongside them from (the)-sides of-the brine
Τοῦ δὲ Φαραὼ μετὰ τῶν Αἰγυπτίων συνεισπεσόντος
— and Pharaoh with the Egyptians having-rushed-in-together
ἐπὶ τὸ πέλαγος, κατὰ τὴν καινοτομηθεῖσαν ἐκείνην ὁδὸν
upon the sea along the newly-made that road

ἐν τοῖς ὕδασι, πάλιν συνάπτεται τὸ ὕδωρ τῷ ὕδατι,
in the waters again is-joined the water to-the water
καὶ ἀνακλυσθείσης πρὸς ἑαυτὴν τῆς θαλάσσης κατὰ τὸ
and having-washed-back to itself the sea into the
πρότερον σχῆμα, μία τοῦ ὕδατος ἐπιφάνειά τε καὶ ὄψις
former shape one of-the water surface both and appearance
γίνεται, ἤδη τῶν Ἰσραηλιτῶν ἐπὶ τῆς πέραν ἠϊόνος τὸ
becomes already the Israelites on the far-side shore the
πολύ τε καὶ σύντονον τῆς διὰ τοῦ πελάγους πορείας
great both and strenuous of-the through the sea journey
ἀναπαυόντων, ὅτε καὶ τὴν ἐπινίκιον ᾖσαν ᾠδὴν τῷ Θεῷ,
resting when also the victory they-sang song — to-God
τῷ τότε ἀναίμακτον ὑπὲρ αὐτῶν ἐγείραντι τρόπαιον,
to-the(-one) then bloodless for them having-raised trophy
πάντων πανστρατιᾷ τῶν Αἰγυπτίων, αὐτοῖς καὶ ἵπποις
all with-the-whole-army the Egyptians themselves and horses
καὶ ὅπλοις καὶ ἅρμασιν, ἀφανισθέντων ὑπὸ τοῦ ὕδατος.
and arms and chariots having-vanished by the water
Εἶτα πρόεισιν ἐπὶ τὰ πρόσω ὁ Μωϋσῆς, καὶ τριῶν
then goes-on to the(-things) forward — Moses and of-three
ἡμερῶν ἄνυδρον διοδεύσας ὁδὸν, ἐν ἀμηχανίᾳ γίνεται,
days waterless having-traveled-through road in perplexity becomes
μὴ ἔχων ὅπως τοῦ στρατοῦ τὸ δίψος παραμυθήσηται.
not having how of-the army the thirst he-might-relieve
Ἦν γάρ τις λίμνη, περὶ ἣν ἐστρατοπέδευσαν, θαλασσίου
was for some lake around which they-encamped of-sea
ὕδατος, μᾶλλον δὲ πικροτέρα ἢ κατὰ θάλασσαν. Ἐπεὶ
water rather and more-bitter than at sea since
οὖν προσκαθήμενοι τῷ ὕδατι, τῷ δίψει τοῦ ὕδατος
then sitting-by the water with-the thirst for-the water
κατεφλέγοντο· θεόθεν αὐτῷ συμβουλῆς γεγενημένης, ξύλον
they-were-burned-up from-God to-him counsel having-come wood

τι περὶ τὸν τόπον εὑρὼν, ἐμβάλλει τῷ ὕδατι· τὸ δὲ
some around the place having-found he-casts-into the water it and
παραχρῆμα πότιμον ἦν, τοῦ ξύλου τῇ οἰκείᾳ δυνάμει τὴν
at-once drinkable was the wood by-the own power the
τοῦ ὕδατος φύσιν εἰς ἡδονὴν ἐκ πικρίας μετακεράσαντος.
of-the water nature into pleasure from bitterness having-changed-the-mixture
Τῆς δὲ νεφέλης μεταναστάσης ἐπὶ τὰ πρόσω, κἀκεῖνοι
the and cloud having-moved-away to the(-things) forward they-too
ἐπὶ τῇ κινήσει τοῦ ὁδηγοῦντος συμμετανίσταντο, ἀεὶ τοῦτο
at the motion of-the guide moved-along always this
ποιοῦντες, παυόμενοί τε τῆς πορείας, ἐν ᾧπερ ἂν ἡ
doing ceasing both from-the journey in whatever-place — the
στάσις τῆς νεφέλης τὸ τῆς ἀναπαύσεως ἔδωκε σύνθημα,
standing-still of-the cloud the of-the rest gave signal
καὶ ἀπαίροντες πάλιν, οὗπερ ἂν ἡ νεφέλη τῆς πορείας
and setting-out again wherever — the cloud of-the journey
αὐτῶν ἀφηγήσατο. Καταλαμβάνουσι δὲ, τῷ ὁδηγῷ τούτῳ
their led they-reach and with-the guide this
ἑπόμενοι, τόπον ὕδατι ποτίμῳ κατάῤῥυτον, δυοκαίδεκα
following (a)-place with-water drinkable well-watered twelve
πηγαῖς ἀφθόνως περικλυζόμενον. Ἑβδομήκοντα δὲ ἦσαν οἱ
with-springs abundantly washed-around seventy and were the
φοίνικες, ἀρκοῦντες καὶ ἐν ὀλίγῳ τῷ ἀριθμῷ πολὺ ποιῆσαι
palm-trees sufficing also in few the number much to-make
τοῖς ὁρῶσι τὸ θαῦμα, τῷ ὑπεραίρειν κατὰ τὸ κάλλος
for-the(-ones) seeing the wonder by-the surpassing in the beauty
τε καὶ μέγεθος. Πάλιν κἀκεῖθεν ὁ ὁδηγὸς ἡ νεφέλη πρὸς
both and size again from-there-too the guide the cloud to
ἕτερον ἄγει τόπον τὸν στρατὸν ἀναστήσασα. Ἔρημος δέ
another leads place the army having-raised-up desert and
τις οὗτος ἦν, ἐν αὐχμηρᾷ καὶ διακεκαλυμμένῃ τῇ ψάμμῳ,
some this was in parched and laid-bare in-the sand

μηδεμιᾶς ὑδάτων ἰκμάδος ὑπονοτιζούσης τὸν χῶρον, ἐν
no of-waters moisture moistening-from-beneath the place in
ᾧ πάλιν τὸν λαὸν τοῦ δίψους καταπονήσαντος, πέτρα
which again the people the thirst having-worn-down rock
τις ἐπὶ γεωλόφου ῥάβδῳ πληγεῖσα παρὰ τοῦ Μωϋσέως,
some on (a)-hillock with-(the)-rod struck by — Moses
ὕδωρ ἐκδίδωσιν ἡδύ τε καὶ πότιμον, καὶ τῆς χρείας
water gives-forth sweet both and drinkable and than-the need
τοῦ τοσούτου λαοῦ δαψιλέστερον. Ἔνθα δὴ καὶ τῆς
of-the so-great people more-abundant there indeed also the
παρασκευῆς τῶν τροφῶν ἐπιλιπούσης, ἣν ἐξ Αἰγύπτου
supply of-the foods having-failed which from Egypt
πρὸς τὴν ὁδοιπορίαν ἐπεσιτίσαντο, καὶ λιμῷ τοῦ λαοῦ
for the journey they-had-provisioned and by-famine the people
πιεζομένου· γίνεται τὸ πάντων ἀπιστότατον θαῦμα, οὐκ
being-pressed comes-about the of-all most-incredible wonder not
ἐκ γῆς, κατὰ τὸ νενομισμένον, αὐτοῖς τῆς τροφῆς
from earth according-to the customary to-them the food
φαινομένης, ἀλλ᾽ ἄνωθεν ἐκ τοῦ οὐρανοῦ δροσοειδῶς
appearing but from-above from the heaven dew-like
καταῤῥεούσης. Δρόσος γὰρ αὐτοῖς ἐπεχεῖτο κατὰ τὸν
flowing-down dew for to-them was-poured at the
ὄρθρον· τροφὴ δὲ τοῖς ὑποδεχομένοις ἡ δρόσος
dawn food and for-the(-ones) receiving the dew
ἐγίνετο. Τὸ γὰρ ἐπιχεόμενον, οὐ ῥανὶς ὑδατώδης ἦν,
became the(-thing) for being-poured-on not (a)-drop watery was
καθὼς σύνηθές ἐστιν ἐν δρόσῳ γίνεσθαι· ἀλλ᾽ ἀντὶ
as customary it-is in dew to-happen but instead-of
σταγόνων θρόμβοι τινὲς κρυσταλλοειδεῖς τὸ εἶδος, κατὰ
drops clots certain crystal-like the form in
τὸ σχῆμα, ὃ ἀγροικικῶς λέγεται κολίανδρον τοῦ κορίου
the shape which rustically is-called coriander of-the coriander

σπέρματος, σφαιρωθέντες κατέῤῥεον, ὧν ἡ γεῦσις τὴν
seed rounded flowed-down whose the taste the
τοῦ μέλιτος ἡδονὴν ὑπεκρίνετο.
of-the honey pleasure imitated

IV · MANNA, AMALEK, AND SINAI

The manna came in equal measure to all, spoiled when hoarded, and fell double before the sabbath. Against Amalek Joshua led picked men while Moses' raised hands gave the victory, his companions holding them up and seating him on a stone. At Sinai the people were purified and the beasts kept off the mountain; it grew dark with gloom and fire, and a trumpet louder at every blast terrified them into asking Moses to receive the law for them. Alone, he entered the darkness, learned what God is not, received the commandments, and saw a tabernacle.

7 Τούτῳ δὲ τῷ θαύματι συνεθεωρεῖτο καὶ τὸ ἕτερον· τὸ
with-this and the wonder was-observed-together also the other that
πάντας ἐπὶ τὴν συλλογὴν ἐξιόντας, ἐν διαφόροις (ὡς εἰκὸς)
all to the gathering going-out in different as is-likely
ἡλικίαις τε καὶ δυνάμεσι, μήτε ἔλαττον ἕτερον ἑτέρου,
ages both and strengths neither less one than-another
γὰρ πᾶσι τοῦ λόγου τὸ κακὸν ἢ τὸ καλὸν προδεικνύντος,
for to-all the word the evil or the good showing-beforehand
ὁ μὲν εὐπειθῶς πρὸς τὸ δεικνύμενον ἔχων ἐν
the(-one) indeed obediently toward the(-thing) shown being in
φωτὶ τὴν διάνοιαν ἔχει· τῷ δὲ ἀντιτύπως διακειμένῳ,
light the mind has for-the(-one) but resistantly disposed
καὶ μὴ καταδεχομένῳ πρὸς τὴν ἀκτῖνα τῆς ἀληθείας τὴν
and not consenting toward the ray of-the truth the
ψυχὴν διαβλέψαι, παραμένει τῆς ἀγνοίας ὁ ζόφος. Εἰ
soul to-look-through remains of-the ignorance the gloom if
δὴ τὸ καθόλου νοηθὲν ἡμῖν ἐν τοῖς τοιούτοις ψεῦδος
indeed the in-general understood by-us in the such(-things) (a)-falsehood
οὐκ ἔστιν· οὐδ' ἂν τὰ καθ' ἕκαστον πάντως ἑτέρως
not is not-even — the(-things) in particular wholly otherwise
ἔχοι, τῆς ἐπὶ μέρους ἐξετάσεως συναποδειχθείσης τῷ
would-be the in part examination demonstrated-along with-the
λόγῳ. Οὐκοῦν οὐδὲν θαυμαστὸν, ἀπαθῆ τὸν Ἑβραῖον
account so nothing (is)-wonderful unharmed the Hebrew

μένειν τῶν Αἰγυπτίων κακῶν, ἐν μέσοις τοῖς ἀλλοφύλοις
to-remain by-the Egyptian evils in (the)-midst the foreigners
ἀναστρεφόμενον, ἐπεὶ καὶ νῦν τὸ ἴσον ἔστι γινόμενον
living since also now the equal it-is-possible happening
ἰδεῖν. Τῶν γὰρ ἐν ταῖς πολυανθρωπούσαις πόλεσι
to-see of-the(-ones) for in the populous cities
πρὸς τὰς ἐναντίας δόξας διεστηκότων, τοῖς μὲν πότιμόν
toward the opposite opinions standing-apart for-some indeed drinkable
τε καὶ διειδές ἐστι τὸ ναμα τῆς πίστεως, ὃ διὰ
both and clear is the stream of-the faith which through
τῆς θείας διδασκαλίας ἀρύονται· τοῖς δὲ διὰ τῆς
the divine teaching they-draw for-the(-ones) but through the
πονηρᾶς ὑπολήψεως Αἰγυπτιάζουσι, διαφθορᾶς αἷμα τὸ
wicked conception Egyptianizing of-corruption blood the
ὕδωρ γίνεται. Καὶ πολλάκις ἐπιχειρεῖ ὁ παρασοφισμὸς
water becomes and often attempts the counterfeiting
τῆς ἀπάτης καὶ τὸ τῶν Ἑβραίων ποτὸν, τῷ μολυσμῷ
of-the deceit also the of-the Hebrews drink by-the defilement
τοῦ ψεύδους αἷμα ποιῆσαι, τοῦτ' ἔστι, τὸν ἡμέτερον
of-the falsehood blood to-make that is the our
λόγον, καὶ ἡμῖν δεῖξαι, μὴ τοιοῦτον ὄντα, οἷός ἐστιν·
word and to-us to-show not such being as it-is
ἀλλ' οὐκ ἀχρειώσειε καθόλου τὸ ποτὸν, κἂν ἐκ
but not it-would-make-useless altogether the drink even-if from
τοῦ προχείρου δι' ἀπάτης περιφοινίξῃ τὸ εἶδος. Πίνει
the ready through deceit it-should-redden the form drinks
γὰρ ὁ Ἑβραῖος τὸ ἀληθινὸν ὕδωρ, κἂν παρὰ τῶν
for the Hebrew the true water even-if by the
ἐναντίων πιθανῶς διαβάλληται, οὐδὲν πρὸς τὸ εἶδος τῆς
opponents plausibly it-be-slandered nothing toward the form of-the
ἀπάτης ἐπιστρεφόμενος. Οὕτω καὶ τὸ βατράχων γένος
deceit turning thus also the of-frogs race

τὸ εἰδεχθὲς καὶ πολύφωνον, ᾧ ἀμφίβιος μὲν ἡ ζωὴ,
the loathsome and many-voiced whose amphibious indeed the life
ἑρπυστικὸν δὲ τὸ πήδημα (ἀηδὴς δὲ οὐ μόνον ἡ ὄψις,
creeping and the leap unpleasant and not only the sight
ἀλλὰ καὶ τοῦ χρωτὸς ἡ δυσωδία)· ὃ τοῖς οἴκοις καὶ
but also of-the skin the stench which into-the houses and
ταῖς κλίναις καὶ τοῖς ταμείοις τῶν Αἰγυπτίων εἰσέρπει,
the beds and the storerooms of-the Egyptians creeps-in
τῆς δὲ τῶν Ἑβραίων ζωῆς οὐκ ἐφάπτεται. Ἀληθῶς γὰρ
the but of-the Hebrews life not touches truly for
ἄντικρυς βατράχων γένη εἰσὶ, τὰ φθοροποιὰ τῆς κακίας
outright of-frogs races are the destructive of-the vice
γεννήματα, ἐκ τῆς ῥυπαρᾶς καρδίας τῶν ἀνθρώπων,
offspring from the filthy heart of-the men
οἷον ἔκ τινος βορβόρου ζωογονούμενα. Οὗτοι οἱ βάτραχοι
as from some mire brought-to-life these the frogs
οἰκοῦσι μὲν τὰς οἰκίας τῶν Αἰγυπτιαζόντων, κατὰ
inhabit indeed the houses of-the(-ones) Egyptianizing according-to
τὴν τοῦ βίου προαίρεσιν· δείκνυνται δὲ καὶ ἐπὶ τῶν
the of-the life choice they-are-shown and also on the
τραπεζῶν, καὶ τῶν κλινῶν οὐκ ἀπέχονται, καὶ εἰς τὰ
tables and from-the beds not they-keep-away and into the
ταμεῖα τῶν ἀποθέτων εἰσδύνουσιν. Ὅταν γὰρ ἴδῃς τὸν
storerooms of-the laid-up(-things) they-slip when for you-see the
ῥυπαρόν τε καὶ ἀκόλαστον βίον, ἀληθῶς ἐκ πηλοῦ
filthy both and licentious life truly from clay
τε καὶ βορβόρου τικτόμενον, καὶ τῇ πρὸς τὸ ἄλογον
both and mire born and by-the toward the irrational
μιμήσει κατὰ τὸ εἶδος τῆς ζωῆς ἐν οὐθετέρᾳ φύσει
imitation in the form of-the life in neither nature
ἀκριβῶς μένοντα· καὶ ἄνθρωπον μὲν κατὰ τὴν φύσιν
exactly remaining and (a)-man indeed by the nature

ὄντα, κτῆνος δὲ διὰ πάθος γινόμενον, καὶ διὰ τοῦτο
being (a)-beast but because-of passion becoming and because-of this
ἀμφίβιον ἐκεῖνο καὶ ἐπαμφοτερίζον τὸ τῆς ζωῆς εἶδος
amphibious that and wavering-between-both the of-the life form
ἐπιδεικνύοντα· εὑρήσεις καὶ ἐπὶ τούτου τὰ τῆς τοιαύτης
displaying you-will-find also in this-one the of-the such
νόσου γνωρίσματα, οὐκ ἐπὶ τῆς κλίνης μόνον, ἀλλὰ
disease tokens not on the bed only but
καὶ ἐπὶ τῆς τραπέζης, καὶ ἐν τοῖς ταμείοις, καὶ κατὰ
also on the table and in the storerooms and through
πᾶσαν τὴν οἴκησιν. Ἐπισημαίνεται γὰρ διὰ πάντων ὁ
all the dwelling signals for through all(-things) the
τοιοῦτος τὴν ἀσωτίαν, ὥστε πάντας ῥᾳδίως ἐπιγνῶναι
such(-one) the profligacy so-that all easily to-recognize
διὰ τῶν κατὰ τὸν οἶκον σπουδαζομένων τὸν βίον
through the(-things) in the house pursued the life
τοῦ τε ἀκολάστου καὶ τοῦ καθαρεύοντος. Ὅταν
of-the(-one) both licentious and of-the(-one) being-pure when
ἐν τούτῳ μὲν ἐπὶ τῶν τείχους κονιαμάτων δείκνυται
in this(-one) indeed on the of-(the)-wall plasterings is-shown
παρὰ τῆς τέχνης διὰ εἰδώλων τινῶν τὰ τῆς ἐμπαθοῦς
by the art through images some the of-the passionate
ἡδονῆς ὑπεκκαύματα· δι᾽ ὧν ὑπομιμνήσκεται τῆς νόσου
pleasure kindlings through which is-reminded of-the disease
ἡ φύσις, διὰ τῶν ὄψεων ἐκ τῆς ἀτιμίας τῶν θαυμάτων
the nature through the sights from the dishonor of-the wonders
ἐπὶ τὴν ψυχὴν ἐπεισχεομένου τοῦ πάθους· ἐπὶ δὲ τοῦ
upon the soul being-poured-in the passion in but the(-one)
σωφρονοῦντος, φυλακὴν πᾶσαν καὶ προμήθειαν, τοῦ καὶ
being-sober guard all and forethought that also
τὸν ὀφθαλμὸν καθαρεύειν τῶν ἐμπαθῶν θεαμάτων.
the eye to-be-pure from-the passionate spectacles

Καὶ ἡ τράπεζα δὲ ὡσαύτως καθαρὰ μὲν ἡ τοῦ
and the table and likewise pure indeed the of-the(-one)
σωφρονοῦντος, εὑρίσκεται δὲ βατραχώδης καὶ πολύσαρκος
being-sober is-found but frog-like and fleshy
τοῦ πρὸς τὸν βορβορώδη βίον ἰλυσπωμένου. Κἂν τὰ
of-the(-one) toward the miry life crawling and-if the
ταμεῖα διερευνήσῃς, τοῦτ' ἔστι, τὰ κρυπτὰ τοῦ βίου
storerooms you-search-out that is the hidden(-things) of-the life
αὐτοῦ καὶ ἀπόῤῥητα· πολὺ μᾶλλον ἐν ἐκείνοις σωρείαν
his and secret much more in those (a)-heap
βατράχων ἐν τοῖς ἀκολάστοις κατανοήσεις. Εἰ δὲ ταῦτα
of-frogs in the licentious(-ones) you-will-observe if but these(-things)
ἡ τῆς ἀρετῆς ῥάβδος ποιεῖν κατὰ τῶν Αἰγυπτίων ὑπὸ
the of-the virtue rod to-do against the Egyptians by
τῆς ἱστορίας λέγεται, μὴ ξενισθῶμεν περὶ τὸν λόγον·
the history is-said not let-us-be-astonished about the word
καὶ γὰρ ἐσκληρύνθαι παρὰ τοῦ Θεοῦ τὸν τύραννον,
and for to-have-been-hardened by — God the tyrant
ἡ ἱστορία φησί. Πῶς οὖν ἂν εἴη κατάκριτος, τῇ
the history says how then — would-he-be condemned by-the
ἄνωθεν ἀνάγκῃ σκληρῶς τε καὶ ἀντιτύπως διαθέμενος;
from-above necessity harshly both and resistantly having-disposed-himself
καί που τὸ ἴσον φησὶν ὁ θεῖος Ἀπόστολος, ὅτι
and somewhere the like says the divine Apostle that
καθόσον οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει,
since not they-approved — God to-have in knowledge
παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας, περὶ τῶν
gave-over them — God to passions of-dishonor about the(-ones)
ἀῤῥενοφθορούντων λέγων, καὶ περὶ τῶν ἐν τοῖς ἀτίμοις
corrupting-males saying and about the(-ones) in the dishonorable
τε καὶ ἀῤῥήτοις τῆς ἀσωτίας τρόποις ἀσχημονούντων.
both and unspeakable of-the profligacy ways behaving-shamefully

Ἀλλ᾽ εἰ καὶ οὕτω λέγεται παρὰ τῆς θείας Γραφῆς τὰ
but if even thus are-said by the divine Scripture the(-things)
εἰρημένα· οὔτε τῷ πάθει τῆς ἀτιμίας ὁ Θεὸς ἔκδοτον
said neither to-the passion of-the dishonor — God given-up
δίδωσι τὸν πρὸς τοῦτο φερόμενον, οὔτε Φαραὼ θείᾳ
gives the(-one) toward this carried nor Pharaoh by-divine
βουλήσει σκληρύνεται, οὔτε ὁ βατραχώδης βίος ὑπὸ τῆς
will is-hardened nor the frog-like life by the
ἀρετῆς πλάσσεται. Εἰ γὰρ βουλητὸν ἦν τῇ θείᾳ φύσει,
virtue is-molded if for willed it-was by-the divine nature
πάντως ἂν ἐπὶ πάντων κατὰ τὸ ἴσον ἡ τοιαύτη
wholly — upon all in the equal(-way) the such
προαίρεσις ἴσχυσεν, ὡς μηδεμιᾶς ἀρετῆς καὶ κακίας
choice would-have-prevailed so-that no of-virtue and vice
παρὰ τὸν βίον διαφορὰν θεωρεῖσθαι. Ἄλλων δὲ ἄλλως
in the life difference to-be-observed others but otherwise
μετεχόντων τοῦ βίου, καὶ τῶν μὲν δι᾽ ἀρετῆς
partaking of-the life and the(-ones) indeed through virtue
κατορθουμένων, τῶν δὲ εἰς κακίαν ἀποῤῥεόντων· οὐκ ἄν
succeeding the(-ones) but into vice flowing-away not —
τις εὐλόγως ὑπερκειμέναις τισὶν ἀνάγκαις, ταῖς κατὰ
anyone reasonably to-transcendent some necessities the according-to
τὸ θεῖον βούλημα συνισταμέναις, τὰς διαφορὰς τῶν βίων
the divine will established the differences of-the lives
λογίσαιτο, ὧν ἡ προαίρεσις ἐφ᾽ ἑκάστου τὸ κράτος ἔχει.
would-reckon of-which the choice in each the mastery has

Not knowing God drags a man into passion, as one who shuns the sun falls into a pit. The lawgiver's outstretched hands, the cross, kill the frogs of the passions; the darkness is ignorance the soul brings on itself, the furnace soot Gehenna's fire, which touches only those who live like Egyptians. Why should the newborn Egyptian die for his father's crime, unless the story means something else?

10 Τίς οὖν παραδίδοται τῷ πάθει τῆς ἀτιμίας, σαφῶς ἔστι
who then is-handed-over to-the passion of-the dishonor clearly it-is-possible
παρὰ τοῦ Ἀποστόλου μαθεῖν· ὁ μὴ δοκιμάσας τὸν Θεὸν
from the Apostle to-learn the(-one) not having-approved — God
ἔχειν ἐν ἐπιγνώσει, ὃν οὐκ ἀμυνόμενος ὁ Θεὸς διὰ τὸ
to-have in knowledge whom not avenging-himself — God because-of the
μὴ ἐπιγνωσθῆναι Θεὸν εἶναι παρ᾽ αὐτοῦ, παραδίδωσι τῷ
not to-be-recognized God to-be by him he-hands-over to-the
πάθει. Ἀλλὰ δὴ τὸ μὴ ἐπιγνῶναι τὸν Θεὸν, αἴτιον αὐτῷ
passion but indeed the not to-recognize — God (the)-cause to-him
γίνεται τοῦ εἰς τὸν ἐμπαθῆ καὶ ἄτιμον βίον κατασυρῆναι.
becomes of-the into the passionate and dishonorable life to-be-dragged-down
Ὥσπερ γὰρ εἴ τινος εἰπόντος, ὅτι μὴ ὀφθεὶς ὁ ἥλιος
as for if someone having-said that not having-been-seen the sun
τὸν δεῖνα τῷ βόθρῳ ἐνέῤῥιψεν, οὐ τοῦτο λογιζόμεθα,
the so-and-so into-the pit threw not this we-reckon
ὅτι ὀργῇ χρώμενος ὁ φωστὴρ τὸν μὴ βουληθέντα
that with-anger using the luminary the(-one) not having-wished
πρὸς αὐτὸν ἰδεῖν, ἐπὶ τὸν βόθρον ἀπώσατο, ἀλλ᾽ οὕτως
toward it to-look into the pit thrust but thus
ἂν τὸ ῥηθὲν νοηθείη κατὰ τὸ εὔλογον, ὅτι
— the(-thing) said might-be-understood according-to the reasonable that
τὸ μὴ μετέχειν τοῦ φωτὸς, αἴτιον τῷ μὴ βλέποντι
the not to-partake of-the light (the)-cause for-the(-one) not seeing

τῆς εἰς τὸν βόθρον ἐστὶ καταπτώσεως· οὕτως εὐαγὲς ἂν
of-the into the pit is falling thus pious —
εἴη καὶ τὸ τοῦ Ἀποστόλου νοεῖν, τὸ τοὺς μὴ
would-be also the(-word) of-the Apostle to-understand that the(-ones) not
ἐπιγνόντας τὸν Θεὸν τοῖς τῆς ἀτιμίας ἐκδίδοσθαι πάθεσι,
having-recognized — God to-the of-the dishonor to-be-given-up passions
καὶ τὸ ἐσκληρύνθαι παρὰ τοῦ Θεοῦ τὸν Αἰγύπτιον
and the to-have-been-hardened by — God the Egyptian
τύραννον· οὐχ ὡς τὴν ἀντιτυπίαν ἐν τῇ ψυχῇ τοῦ Φαραὼ
tyrant not as the resistance in the soul — of-Pharaoh
τῆς θείας βουλήσεως ἐντιθείσης, ἀλλ' ὡς τῆς προαιρέσεως
the divine will placing but as the choice
διὰ τῆς πρὸς τὴν κακίαν προσκλίσεως τὸν ἐκμαλάσσοντα
through the toward the vice inclination the softening
τὴν ἀντιτυπίαν λόγον οὐ δεχομένης. Οὕτω καὶ ἡ τῆς
the resistance word not receiving thus also the of-the
ἀρετῆς ῥάβδος ἐν τοῖς Αἰγυπτίοις φανεῖσα, τὸν μὲν
virtue rod among the Egyptians having-appeared the indeed
Ἑβραῖον καθαρὸν τῆς βατραχώδους ζωῆς ἀπεργάζεται·
Hebrew pure from-the frog-like life works
τὸν δὲ Αἰγύπτιον βίον πλήρη τῆς τοιαύτης δείκνυσι νόσου.
the but Egyptian life full of-the such shows disease
Ἀλλ' ἔσθ' ὅτε τοῦ Μωσέως καὶ ὑπὲρ τούτων τὰς χεῖρας
but it-is when — Moses also for these the hands
ἐκτείναντος, ἀφανισμὸς τῶν βατράχων γίνεται. Ὃ δὴ
having-stretched-out (a)-destruction of-the frogs comes-about which indeed
καὶ νῦν ἔστι γνῶναι γινόμενον. Οἱ γὰρ τὴν ἔκτασιν
also now it-is-possible to-know happening the(-ones) for the stretching
τῶν χειρῶν τοῦ νομοθέτου κατανοήσαντες (συνήσεις
of-the hands of-the lawgiver having-understood you-will-understand
δὲ πάντως, ὅτι σοὶ λέγει τὸ αἴνιγμα· ὥστε νοῆσαι
and wholly that to-you speaks the riddle so-as to-understand

διὰ μὲν τοῦ νομοθέτου τὸν ἀληθινὸν νομοθέτην, διὰ
through indeed the lawgiver the true lawgiver through
δὲ τῆς τῶν χειρῶν ἐκτάσεως, τὸν ἐπὶ τοῦ σταυροῦ τὰς
and the of-the hands stretching the(-one) on the cross the
χεῖρας ἐκτείναντα), οἱ τοίνυν πρὸς ὀλίγον τοῖς
hands having-stretched-out the(-ones) therefore for (a)-little(-while) with-the
ῥύπαροῖς τούτοις καὶ βατραχώδεσι λογισμοῖς συζῶντες, εἰ
filthy these and frog-like reasonings living-together if
πρὸς τὸν ὑπὲρ ἡμῶν τὰς χεῖρας ἐκτείναντα ἴδοιεν·
to the(-one) for us the hands having-stretched-out they-should-look
ἀπαλλάσσονται τῆς πονηρᾶς αὐτῶν συνοικήσεως,
are-released from-the wicked their cohabitation
νεκρωθέντος τοῦ πάθους καὶ ἀποζέσαντος. Ἀληθῶς γὰρ
having-been-killed the passion and having-ceased-boiling truly for
τοῖς ἀπηλλαγμένοις τῆς τοιαύτης νόσου, μετὰ τὴν
to-the(-ones) released from-the such disease after the
νέκρωσιν τῶν ἑρπυστικῶν κινημάτων, ἄτοπός τις καὶ
deadening of-the creeping motions strange some and
δυσώδης ἡ τῶν προβεβιωμένων γίνεται μνήμη, δι᾽
foul-smelling the of-the(-things) lived-before becomes memory through
αἰσχύνης τὴν ψυχὴν ἀηδίζουσα, καθώς φησιν ὁ Ἀπόστολος
shame the soul disgusting as says the Apostle
πρὸς τοὺς ἐκ τῆς τοῦ κακοῦ μεταβολῆς τὴν ἀρετὴν
to the(-ones) from the of-the evil change the virtue
μετιόντας· ὅτι Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ᾽ οἷς νῦν
pursuing that what then fruit had-you then in which now
ἐπαισχύνεσθε; Κατὰ τὴν διάνοιαν ταύτην νόει μοι
you-are-ashamed according-to the understanding this understand for-me
καὶ τὴν ἀέρα διὰ τῆς ῥάβδου, τοῖς μὲν τῶν Αἰγυπτίων
also the air through the rod to-the indeed of-the Egyptians

ὀφθαλμοῖς μελαινόμενον, ἐπὶ δὲ τῶν Ἑβραίων τῷ ἡλίῳ
eyes being-blackened on and the Hebrews by-the sun
καταλαμπόμενον.
being-lit-up
Δι᾽ οὗ μάλιστα βεβαιοῦται τῆς ἀποδοθείσης διανοίας 11
through which most is-confirmed of-the rendered understanding
ὁ λόγος· ὅτι οὐκ ἄνωθέν τις ἀναγκαστικὴ δύναμις τὸν
the word that not from-above some compelling power the(-one)
μὲν ἐν ζόφῳ, τὸν δὲ ἐν φωτὶ γενέσθαι παρασκευάζει,
indeed in gloom the(-one) but in light to-become prepares
ἀλλ᾽ οἴκοθεν ἔχομεν ἐν τῇ ἑαυτῶν φύσει τε καὶ προαιρέσει
but from-home we-have in the of-ourselves nature both and choice
τὰς τοῦ φωτός τε καὶ σκότους αἰτίας οἱ ἄνθρωποι,
the of-the light both and darkness causes we men
πρὸς ὅπερ ἂν ἐθέλωμεν τούτων, γινόμενοι. Καὶ γὰρ,
to whichever — we-may-wish of-these becoming and for
κατὰ τὴν ἱστορίαν, οὐ διά τινος τείχους ἢ ὄρους
according-to the history not through some wall or mountain
ἐπιπροσθοῦντος τὰς ὄψεις, καὶ τὰς ἀκτῖνας ἀποσκευάζοντος,
screening the eyes and the rays shutting-off
οἱ μὲν Ἑβραῖοι τοῦ φωτὸς κατετρύφων· οἱ δὲ
the indeed Hebrews in-the light luxuriated the(-others) but
ἀναισθήτως εἶχον τῆς χάριτος· οὕτω πᾶσι κατὰ τὸ
insensibly were of-the grace thus to-all in the
ἴσον τοῦ φωτεινοῦ βίου κατ᾽ ἐξουσίαν προκειμένου·
equal(-way) the luminous life at choice lying-before
οἱ μὲν ἐν σκότει διαπορεύονται, διὰ τῶν πονηρῶν
the(-ones) indeed in darkness walk through the wicked
ἐπιτηδευμάτων πρὸς τὸν τῆς κακίας ζόφον συνελαυνόμενοι·
pursuits toward the of-the vice gloom driven-together
οἱ δὲ τῷ φωτὶ τῆς ἀρετῆς ἐλλαμπρύνονται. Εἰ δὲ
the(-ones) but by-the light of-the virtue are-made-splendid if but

μετὰ τὴν τριήμερον ἐν σκότῳ κακοπάθειαν γίνεται καὶ
after the three-day in darkness suffering comes-about also
τοῖς Αἰγυπτίοις ἡ τοῦ φωτὸς μετουσία· τάχα τις ἀπὸ
to-the Egyptians the of-the light participation perhaps one from
τούτων ὁρμώμενος, πρὸς τὴν ἀπὸ κακίας πρὸς ἀρετὴν
these(-things) setting-out toward the from vice to virtue
δι' ἐπιγνώσεως τοῦ σταυρωθέντος καὶ μετανοίας
through knowledge of-the(-one) crucified and repentance
μετάστασιν τῶν πρὶν κατὰ τὸν βίον Αἰγυπτιαζόντων
change of-the(-ones) formerly in the life Egyptianizing
ἀγάγοι τὸ νόημα. Τὸ γὰρ ψηλαφητὸν ἐκεῖνο σκότος,
might-lead the thought the for palpable that darkness
καθώς φησιν ἡ ἱστορία, πρὸς τὸ τῆς ἀγνοίας καὶ
as says the history to the of-the ignorance and
ἁμαρτίας σκότος πολλὴν ἔν τε τῷ ῥήματι καὶ τῷ
sin darkness much in both the word and the
νοήματι τὴν συγγένειαν ἔχει. Λύεται δὲ τούτων ἑκάτερον,
thought the kinship has is-dissolved and of-these each
τοῦ Μωσέως (καθὼς ἐν τῷ πρὸ τούτου νενόηται) ὑπὲρ
— Moses as in the before this has-been-understood for
τῶν ἐν σκότει τὰς χεῖρας ἐκτείναντος. Ὡσαύτως καὶ ἡ
the(-ones) in darkness the hands having-stretched-out likewise also the
καμιναία κόνις ἐκείνη, ἡ τὰς ὀδυνηρὰς φλυκταίνας τοῖς
furnace dust that the(-one) the painful boils on-the
Αἰγυπτίοις ἐπάγουσα, κατὰ λόγον ἂν νοηθείη, διὰ
Egyptians bringing in reason — might-be-understood through
τοῦ κατὰ τὸ ὄνομα τῆς καμίνου αἰνίγματος, ἡ διὰ τοῦ
the in the name of-the furnace riddle the through the
πυρὸς κατὰ τὴν γέενναν ἀπειληθεῖσα κόλασις, ἣ μόνον
fire in the Gehenna threatened punishment which only
ἅπτεται τῶν Αἰγυπτιαζόντων κατὰ τὸν βίον, τοῦτ' ἔστιν
touches the(-ones) Egyptianizing in the life that is

καθὼς πολλάκις εἴπαμεν, τῶν κακῶς ζώντων καὶ τὴν
as often we-have-said of-the(-ones) evilly living and the
ἔκτασιν τῶν χειρῶν τοῦ Χριστοῦ μὴ προσκυνούντων. Εἰ δέ
stretching of-the hands — of-Christ not worshiping if but
τις ἀληθῶς Ἰσραηλίτης ἐστὶ, καὶ τοῦ Ἀβραὰμ υἱὸς, καὶ
anyone truly (an)-Israelite is and — of-Abraham (a)-son and
πρὸς ἐκεῖνον τῷ βίῳ βλέπει, ὡς δεῖξαι τῇ προαιρέσει
to him in-the life looks so-as to-show by-the choice
τὴν πρὸς τοὺς ἐκλεκτοὺς ἀγχιστείαν τοῦ γένους· οὗτος
the toward the elect kinship of-the race this-one
φυλάσσεται ἀπὸ τῆς καμιναίας ἐκείνης ὀδύνης. Γένοιτο
is-guarded from the furnace that pain might-become
δ' ἂν κἀκείνοις ποτὲ ἡ ἀποδοθεῖσα τῆς ἐκτάσεως τῶν
and — for-those-too sometime the rendered of-the stretching of-the
χειρῶν τοῦ Μωσέως ἑρμηνεία, θεραπεία τῆς ὀδύνης, καὶ
hands — of-Moses interpretation (a)-healing of-the pain and
ἀπαλλαγὴ τῶν κολάσεων. Τοὺς δὲ λεπτοὺς σκνίπας
(a)-release from-the punishments the and fine gnats
ἐκείνους, οἳ τοῖς ἀφανέσι δήγμασι τοὺς Αἰγυπτίους
those which with-the unseen bites the Egyptians
ἀλγύνουσι· τήν τε κυνόμυιαν ὀδυνηρῶς διὰ τοῦ δήγματος
pain the both dog-fly painfully through the bite
ἐμφυομένην τοῖς σώμασι· τήν τε ὑπὸ τῶν ἀκρίδων
growing-into in-the bodies the both by the locusts
καταφθειρομένην γεωπονίαν· καὶ τοὺς ἄνωθεν πρηστῆρας
destroyed farming and the from-above fiery-whirlwinds
τοῖς τῆς χαλάζης λίθοις συγκαταπίπτοντας· οὐκ ἄν τις
with-the of-the hail stones falling-together not — anyone
τῷ εἱρμῷ τῶν προεξητασμένων ἑπόμενος κάμνοι, τὰ
the chain of-the examined-before following would-tire the(-things)
καθ' ἕκαστον προσαρμόζων τοῖς καταλλήλοις νοήμασι· ἅπερ
in particular fitting to-the corresponding thoughts which

πάντα ποιεῖ μὲν κατὰ τὸ προηγούμενον ἡ Αἰγυπτία
all does indeed according-to the antecedent the Egyptian
προαίρεσις, ἐπάγει δὲ ἡ ἀδέκαστος τοῦ Θεοῦ δίκη.
choice brings and the incorruptible — of-God justice
12 Ἐπακολουθέντες νοήσωμεν ὅτι παρὰ Θεοῦ γίνεται τὰ
having-followed let-us-understand that from God come the
λυπηρὰ τοῖς τῶν τοιούτων ἀξίοις· ἀλλ᾽ ὅτι ἕκαστος
grievous(-things) to-the(-ones) of-the such worthy but that each
ἑαυτῷ τῶν πληγῶν γίνεται δημιουργὸς, διὰ τῆς οἰκείας
to-himself of-the plagues becomes (the)-maker through the own
προαιρέσεως τὴν τῶν ἀλγεινῶν παρασκευὴν ἑτοιμάζων,
choice the of-the painful(-things) preparation getting-ready
καθὼς φησιν ὁ Ἀπόστολος πρὸς τὸν τοιοῦτον λέγων, ὅτι
as says the Apostle to the such(-one) saying that
«Κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν
according-to the hardness your and impenitent heart
θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως
you-treasure-up for-yourself wrath in (the)-day of-wrath and of-revelation
καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ
and of-righteous-judgment — of-God who will-render to-each according-to
τὰ ἔργα αὐτοῦ.» Ὥσπερ γὰρ διὰ τῆς ἀτακτοτέρας
the works his as for through the more-disordered
διαίτης φθοροποιός τις χυμὸς καὶ χολώδης ἐν τοῖς
diet destructive some humor and bilious in the
σπλάγχνοις συνίσταται· ὃν ὁ ἰατρὸς διὰ τῆς τέχνης εἰς
bowels forms which the physician through the art into
ἔμετον ἐφελκυσάμενος, οὐκ ἂν ἐν αἰτίᾳ γένοιτο τοῦ αὐτὸς
vomiting having-drawn-out not — in blame would-come of-the himself
ἐμποιῆσαι τῷ σώματι τὸν νοσώδη χυμὸν, ἀλλ᾽ ἐποίησε
to-produce in-the body the sickly humor but made
μὲν ἡ τῆς τροφῆς ἀταξία, εἰς δὲ τὸ ἐμφανὲς ἤγαγεν
indeed the of-the food disorder into but the manifest brought

ἡ ἰατρικὴ ἐπιστήμη· οὕτως κἂν παρὰ τοῦ Θεοῦ γίνεσθαι
the medical science thus even-if from — God to-come
λέγηται τοῖς μοχθηροῖς τὴν προαίρεσιν ἡ ἀλγεινὴ
is-said to-the(-ones) wicked in-the choice the painful
ἀνταπόδοσις, εὔλογον ἂν εἴη νοεῖν, ἐξ ἡμῶν αὐτῶν
requital reasonable — would-be to-understand from us ourselves
τὰς ἀρχὰς καὶ τὰς αἰτίας τὰ τοιαῦτα λαμβάνειν πάθη.
the beginnings and the causes the such to-take sufferings
Τῷ γὰρ ἀναμαρτήτως βεβιωκότι οὐ σκότος ἐστὶν, οὐ
to-the(-one) for sinlessly having-lived not darkness is not
σκώληξ, οὐ γέεννα, οὐ πῦρ, οὐκ ἄλλο τι τῶν φοβερῶν
worm not Gehenna not fire not other any of-the fearful
ὀνομάτων τε καὶ πραγμάτων, ὡς δὴ καὶ ἡ ἱστορία
names both and things as indeed also the history
φησὶ, τοῖς Ἑβραίοις μὴ εἶναι τὰς Αἰγυπτίας πληγάς. Εἰ
says for-the Hebrews not to-be the Egyptian plagues if
οὖν ἐν τῷ αὐτῷ, τῷ μὲν εἰς κακὸν, τῷ δὲ οὐκ
then in the same for-the(-one) indeed into evil for-the(-other) but not
ἔστι, τῆς τῶν προαιρέσεων διαφορᾶς ἐν τοῖς καταλλήλοις
is the of-the choices difference in the corresponding
δεικνυούσης ἑκάτερον· δῆλον ἂν εἴη τὸ μηδὲν τῶν κακῶν
showing each clear — would-be the nothing of-the evils
δίχα τῆς ἡμετέρας προαιρέσεως δύνασθαι συστῆναι.
apart-from the our choice to-be-able to-subsist
Ἀλλὰ πρὸς τὸ ἑξῆς τοῦ λόγου προΐωμεν, τοσοῦτον 13
but to the next of-the discourse let-us-go-on so-much
παιδευθέντες διὰ τῶν ἐξητασμένων, ὅτι Μωσῆς τε
taught through the(-things) examined that Moses both
ἐκεῖνος, καὶ ὁ κατ᾽ ἐκεῖνον διὰ τῆς ἀρετῆς ἑαυτὸν
that and the(-one) after him through the virtue himself
ἐπαίρων, ἐπειδὰν διά τε τῆς χρονίας προσοχῆς τοῦ
lifting when through both the long attention of-the

ὀρθίου τε καὶ ὑψηλοῦ βίου, καὶ διὰ τῆς ἄνωθεν γινομένης
upright both and lofty life and through the from-above coming
φωταγωγίας δυναμωθῇ τὴν ψυχήν, ζημίαν ἡγεῖται τὸ μὴ
illumination he-is-empowered in-the soul (a)-loss considers the not
καὶ τοῖς ὁμογενέσι πρὸς τὸν ἐλεύθερον καθηγήσασθαι βίον.
also the kinsmen to the free to-lead life
Καὶ πρὸς αὐτοὺς γενόμενος, τῇ παραθέσει τῶν χειρόνων
and to them having-come by-the juxtaposition of-the worse
παθῶν σφοδροτέραν αὐτοῖς τῆς ἐλευθερίας τὴν ἐπιθυμίαν
sufferings more-vehement in-them of-the freedom the desire
ἐντίθησι· καὶ μέλλων ἐξαιρεῖσθαι τοῦ κακοῦ τὸ ὁμόφυλον,
puts-in and being-about to-rescue from-the evil the kindred
θάνατον ἐπάγει παντὶ πρωτοτόκῳ Αἰγυπτίῳ. Τοῦτο δι᾽
death brings on-every firstborn Egyptian this through
ὧν ἐποίησεν ἡμῖν νομοθετῶν, τὸ δεῖν τὴν πρώτην τοῦ κακοῦ
what he-did for-us legislating the must the first of-the evil
γένεσιν ἐξαφανίζειν· μὴ γὰρ ἄλλως εἶναι δυνατὸν διαφυγεῖν
generation to-destroy not for otherwise to-be possible to-escape
τὸν Αἰγύπτιον βίον. Καί μοι δοκεῖ καλῶς ἔχειν, τὴν
the Egyptian life and to-me seems well to-be the
διάνοιαν ταύτην μὴ παραδραμεῖν ἀθεώρητον. Εἰ γάρ τις
understanding this not to-run-past uncontemplated if for anyone
μόνον εἰς τὴν ἱστορίαν βλέποι, πῶς ἡ θεοπρεπὴς ἔννοια
only into the history should-look how the God-befitting notion
τοῖς γεγενῆσθαι λεγομένοις διασωθήσεται; Ἀδικεῖ ὁ
in-the(-things) to-have-happened said will-be-preserved does-wrong the
Αἰγύπτιος, καὶ ἀντ᾽ ἐκείνου κολάζεται τὸ ἀρτιγενὲς αὐτοῦ
Egyptian and instead-of him is-punished the newborn his
νήπιον, ᾧ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς οὐδεμία τίς
infant in-whom because-of the of-the age immaturity no any
ἐστι καλοῦ τε καὶ μὴ τοιούτου διάκρισις· ἔξω τοῦ κατὰ
is of-good both and not such discernment outside the in

κακίαν πάθους ἡ ζωὴ αὐτοῦ. Οὐ γὰρ χωρεῖ τὸ πάθος ἡ
vice passion the life his not for holds the passion the
νηπιότης, δεξιᾶς ἢ ἀριστερᾶς διαφορὰν οὐκ ἐπίσταται, πρὸς
infancy of-right or left (the)-difference not it-knows to
μόνην ἀναβλέπει τὴν θηλὴν, μίαν τοῦ λυποῦντος σημαντικὴν
only looks-up the nipple one of-the grieving(-thing) signifying
αἴσθησιν ἔχει τὸ δάκρυον, καὶ εἰ τύχοι τινὸς, οὗ ἡ
sensation has the tear and if it-should-get something which the
φύσις ἐφίεται, μειδιάματι τὴν ἡδονὴν ἐπεσήμανε. Τοῦτο τῆς
nature desires with-(a)-smile the pleasure it-signals this(-one) of-the
πατρικῆς κακίας ἐκτίνει τὴν δίκην. Ποῦ τὸ δίκαιον; ποῦ
paternal vice pays the penalty where the just where
τὸ εὐσεβές; ποῦ τὸ ὅσιον; ποῦ Ἰεζεκιὴλ βοῶν, ὅτι «Ψυχὴ
the pious where the holy where Ezekiel crying that (the)-soul
ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται·» καὶ, ὅτι «Οὐ λήψεται
the sinning it will-die and that not will-take
τὴν τοῦ πατρὸς ἁμαρτίαν ὁ ἐξ ἐκείνου γεννώμενος;»
the of-the father sin the(-one) from him born

XII · KILLING THE FIRSTBORN, EATING THE LAMB

The law teaches that evil must be killed at its first beginnings, as a serpent by its head. The lamb's blood on lintel and doorposts guards the soul. The lamb is eaten girded, shod, staff in hand, as travelers eat. The bones are not broken: what is hidden in God is left to the fire of the Spirit.

Πῶς ἀντινομοθετεῖ ἡ ἱστορία τῷ λόγῳ; Οὐκοῦν οὐκ 14
how legislates-against the history the reason so not
εὐλογώτερον ἂν εἴη, πρὸς τὴν ἀναγωγὴν τοῦ νοήματος
more-reasonable — it-would-be to the higher-sense of-the thought
ὁρῶντας, εἰ καί τι γέγονε τυπικῶς, δόγμα διὰ
looking if even anything happened typically (a)-teaching through

τῶν γενομένων πιστεύειν τὸν νομοθέτην ἐκτίθεσθαι. Τὸ
the(-things) having-happened to-believe the lawgiver to-set-forth the
δὲ δόγμα τοιοῦτόν ἐστι· τὸ δεῖν πρὸς τὴν κακίαν τινὰ δι᾽
and teaching such is the must toward the vice one through
ἀρετῆς συμπλεκόμενον, τὰς πρώτας τῶν κακῶν ἀρχὰς εἰς
virtue grappling the first of-the evils beginnings for
ἀφανισμὸν ἔχειν. Τῇ γὰρ ἀναιρέσει τῆς ἀρχῆς καὶ τὸ
destruction to-hold by-the for destruction of-the beginning also the(-thing)
μετ᾽ ἐκείνην συναφανίζεται, καθὼς διδάσκει διὰ τοῦ
after it is-destroyed-together as teaches through the
Εὐαγγελίου ὁ Κύριος, μονονουχὶ διαῤῥήδην βοῶν ἀναιρεῖν
Gospel the Lord all-but expressly crying to-destroy
τῶν Αἰγυπτίων κακῶν τὰ πρωτότοκα, δι᾽ ὧν κελεύει
of-the Egyptian evils the firstborn through which he-commands
τὴν ἐπιθυμίαν ἀνελόντας, καὶ τὴν ὀργὴν, μηκέτι δεδοικέναι,
the desire having-destroyed and the anger no-longer to-fear
μήτε τῆς μοιχείας τὸ μίασμα, μήτε τοῦ φόνου τὸ ἄγος. Οὐ
neither of-the adultery the defilement nor of-the murder the pollution not
γὰρ ἂν ἐφ᾽ ἑαυτοῦ συσταίη τούτων ἑκάτερον, εἰ μὴ φόνον
for — by itself could-subsist of-these each if not murder
μὲν ἡ ὀργὴ, μοιχείαν δὲ ἡ ἐπιθυμία τελεσφορήσειεν.
indeed the anger adultery but the desire should-bring-to-completion
Ἐπεὶ οὖν ὁ εἰς κακίαν τεκνογονῶν, πρὸ τῆς μοιχείας
since then the(-one) for vice begetting-children before the adultery
τίκτει τὴν ἐπιθυμίαν, καὶ τὴν ὀργὴν πρὸ τοῦ φόνου· ὁ
brings-forth the desire and the anger before the murder the(-one)
ἀνελὼν τὸν πρωτότοκον, συνανεῖλε πάντως καὶ τὴν
having-destroyed the firstborn destroyed-together wholly also the
ἀκολουθοῦσαν τῷ πρωτοτόκῳ γονὴν, ὥσπερ καὶ ἐπὶ τοῦ
following the firstborn offspring as also in the
ὄφεως ὁ τὴν κεφαλὴν πλήξας, ὅλον συναπενέκρωσε
snake the(-one) the head having-struck whole killed-together

τὸν κατόπιν ὁλκὸν ὃν ἐφέλκεται. Τοῦτο δὲ οὐκ ἂν
the behind trail which he-draws this and not —
γένοιτο, μὴ προχεθέντος ἡμῶν ταῖς εἰσόδοις ἐκείνου τοῦ
could-happen not having-been-poured our on-the entrances that the
αἵματος, ὃ τὸν ὀλοθρευτὴν ἀποστρέφει. Καὶ εἰ χρὴ τὴν
blood which the destroyer turns-away and if one-must the
ἀποδοθεῖσαν διάνοιαν ἀκριβέστερον ἐν τοῖς εἰρημένοις
rendered understanding more-exactly in the(-things) said
κατανοῆσαι· τοῦτο δι' ἑκατέρων δίδωσιν ἡ ἱστορία
to-understand this through both gives the history
νοεῖν, ἔκ τε τοῦ ἀνελεῖν τὰ πρωτότοκα, καὶ ἐκ τοῦ
to-understand from both the to-destroy the firstborn and from the
δι' αἵματος κατασφαλισθῆναι τὴν εἴσοδον. Ἐκεῖ τε γὰρ ἡ
through blood to-be-made-secure the entrance there both for the
πρώτη ὁρμὴ τοῦ κακοῦ ἀφανίζεται, καὶ ἐνταῦθα ἡ πρώτη
first rush of-the evil is-destroyed and here the first
τῆς κακίας εἴσοδος καθ' ἡμῶν διὰ τοῦ ἀληθινοῦ ἀμνοῦ
of-the vice entrance against us through the true lamb
ἐπιστρέφεται. Οὐ γὰρ ἐντὸς γενόμενον τὸν ὀλοθρευτὴν δι'
is-turned-back not for inside having-come the destroyer by
ἐπινοίας ἐκβάλλομεν, ἀλλ' ὅπως ἂν μηδὲ τὴν ἀρχὴν ἡμῖν
contrivance we-cast-out but so-that — not-even the beginning to-us
παρεισδύσῃ, φυλακὴν διὰ τοῦ νόμου ποιούμεθα. Φυλακὴ
he-might-slip-in (a)-guard through the law we-make (a)-guard
δέ ἐστι καὶ ἀσφάλεια τὸ τῷ αἵματι τοῦ ἀμνοῦ τήν τε
and is and safety the with-the blood of-the lamb the both
φλιὰν καὶ τοὺς σταθμοὺς τῆς εἰσόδου κατασημήνασθαι·
lintel and the doorposts of-the entrance to-mark
ταῦτα περὶ ψυχῆς ἡμῖν φυσιολογοῦντος δι' αἰνιγμάτων
these(-things) about (the)-soul to-us expounding-nature through riddles
τοῦ λόγου, ὃ καὶ ἡ ἔξωθεν παίδευσις ἐφαντάσθη,
the word which also the outside education imagined

διαιροῦσα τὴν ψυχὴν εἰς τὸ λογιστικὸν καὶ ἐπιθυμητικὸν
dividing the soul into the rational and desiring
καὶ θυμοειδές. Τούτοις δὲ καὶ τὴν ἐπιθυμίαν ὑποβεβηκέναι
and spirited to-these and also the desire to-have-been-set-under
φασὶν, ἑκατέρωθεν τὸ διανοητικὸν τῆς ψυχῆς ὑπερείδουσαν·
they-say on-both-sides the intellectual of-the soul propping
τὸν δὲ λογισμὸν ἀμφοτέροις ἐπεζευγμένον, συνέχειν τε
the and reasoning to-both yoked to-hold-together both
αὐτοὺς, καὶ ὑπὸ ἐκείνων ἀνέχεσθαι· πρὸς μὲν ἀνδρείαν
them and by them to-be-held-up toward indeed courage
τῷ θυμῷ στομούμενον, πρὸς δὲ τὴν τοῦ ἀγαθοῦ μετουσίαν
by-the spirit being-tempered toward but the of-the good participation
δι' ἐπιθυμίας ὑψούμενον. Ἕως ἂν οὖν ἡ ψυχὴ τῷ
through desire being-raised as-long-as — then the soul in-the
σχήματι τούτῳ κατησφαλισμένη τύχῃ, καθάπερ τισὶ
shape this made-secure happens-to-be as-if by-some
γόμφοις τοῖς κατ' ἀρετὴν νοήμασι τὸ βέβαιον ἔχουσα, ἐν
bolts by-the in virtue thoughts the firmness having in
πάσῃ δι' ἀλλήλων γίνεται τῇ πρὸς τὸ καλὸν συνεργίᾳ·
every through one-another comes the toward the good cooperation
παρέχοντος ἤδη δι' ἑαυτοῦ τοῖς ὑποβεβηκόσι τοῦ
providing already through itself to-the(-parts) set-under the
λογισμοῦ τὴν ἀσφάλειαν, καὶ ἐν τῷ μέρει παρ' ἐκείνων
reasoning the security and in the turn from them
τὴν ἴσην χάριν ἀντιλαμβάνοντος. Εἰ δὲ ἀναστραφείη
the equal favor receiving-in-return if but should-be-turned-upside-down
τὸ σχῆμα, καὶ τὰ ἄνω γένοιτο κάτω, ὥστε κατὰ
the shape and the(-things) above should-become below so-as in
τὸ πατούμενον μέρος τὸν λογισμὸν πεσόντα ἄνω ἑαυτοῦ
the trodden part the reasoning having-fallen above itself
ποιῆσαι τὴν ἐπιθυμητικήν τε καὶ θυμώδη διάθεσιν· τότε
to-make the desiring both and spirited disposition then

ὁ ὀλοθρεύων εἰς τὰ ἐντὸς παραδύεται, μηδεμιᾶς τῆς
the destroying(-one) into the(-parts) inside slips no the
ἐκ τοῦ αἵματος ἀντιπαθείας ἀντιβαινούσης αὐτῷ πρὸς
from the blood antipathy opposing him toward
τὴν εἴσοδον, τουτέστι, τοῖς οὕτω διακειμένοις τῆς
the entrance that-is for-the(-ones) thus disposed the
εἰς Χριστὸν πίστεως συμμαχούσης. Τῷ γὰρ αἵματι
into Christ faith fighting-alongside with-the for blood
πρῶτον ἐπαλείφειν κελεύει τὴν ἄνω φλιὰν, εἶθ' οὕτως
first to-anoint he-commands the upper lintel then thus
ἐπιθιγγάνειν τῶν σταθμῶν ἑκατέρωθεν. Πῶς ἂν οὖν τις
to-touch the doorposts on-both-sides how — then one
ἐπαλείψειε τὸ ἄνω πρῶτον, τὸ μὴ εὑρισκόμενον ἄνω;
could-anoint the above first the(-thing) not found above
Εἰ δὲ καὶ μὴ τὰ δύο τοῖς Ἰσραηλίταις γεγένηται, ἥ τε
if and also not the two for-the Israelites has-come-about the both
τῶν πρωτοτόκων ἀναίρεσις καὶ ἡ τοῦ αἵματος πρόσχυσις·
of-the firstborn destruction and the of-the blood pouring
μὴ θαυμάσῃς μηδὲν, μήτε διὰ τοῦτο τὴν ἀποδοθεῖσαν
do-not wonder at-all nor because-of this the rendered
περὶ τῆς ἀναιρέσεως τοῦ κακοῦ θεωρίαν ἀποβάλῃς, ὡς
about the destruction of-the evil contemplation cast-away as
ἔξω τῆς ἀληθείας παρευρημένην. Νῦν γὰρ τῇ διαφορᾷ
outside the truth invented now for by-the difference
τῶν ὀνομάτων, τοῦ Ἰσραηλιτικοῦ τε καὶ τοῦ Αἰγυπτίου,
of-the names of-the Israelite both and of-the Egyptian
τὸ τῆς ἀρετῆς πρὸς τὴν κακίαν διάφορον ἐνοήσαμεν.
the of-the virtue toward the vice difference we-understood
Εἰ οὖν Ἰσραηλιτικὸν τὸν ἐνάρετον ἡ ἀναγωγὴ νοεῖν
if then (an)-Israelite the virtuous(-one) the higher-sense to-understand
ὑποτίθεται· οὐκ ἂν εὐλόγως τῶν τῆς ἀρετῆς γεννημάτων
proposes not — reasonably of-the of-the virtue offspring

τὰς ἀρχὰς ἐπιζητοίη τις καταφονεύεσθαι, ἀλλ᾽ ἐκεῖνα,
the beginnings would-seek anyone to-be-slaughtered but those
ὧν ὁ ἀφανισμὸς τῆς ἀνατροφῆς ἐστι λυσιτελέστερος.
whose the destruction than-the nurture is more-profitable
15 Οὐκοῦν ἀκολούθως τῆς Αἰγυπτίας γονῆς τὰς ἀρχὰς δεῖν
so in-sequence of-the Egyptian offspring the beginnings must
ἀναιρεῖσθαι, παρὰ τοῦ Θεοῦ μεμαθήκαμεν, ὡς ἂν ἐπιλίποι
be-destroyed from — God we-have-learned that — might-fail
τὸ κακὸν τῷ τῆς ἀρχῆς ὀλέθρῳ συνδαπανώμενον. Καὶ
the evil by-the of-the beginning destruction consumed-along and
συμβαίνει τῇ ἱστορίᾳ τὸ νόημα· τῶν μὲν Ἰσραηλιτικῶν
agrees with-the history the thought of-the indeed Israelite
γεννημάτων διὰ τῆς τοῦ αἵματος προσχύσεως γίνεται ἡ
offspring through the of-the blood pouring comes-about the
φρουρὰ, ὅπως ἂν εἰς τελείωσιν τὸ ἀγαθὸν ἔλθῃ. Ὅπερ
guard so-that — to perfection the good might-come what
δὲ τελειωθὲν εἰς Αἰγύπτιον συντελέσει δῆμον, τοῦτο
but having-been-perfected into (the)-Egyptian will-contribute people this
πρὸ τῆς ἐν τῷ κακῷ τελειώσεως ἠφανίσθη. Συνεργεῖ δὲ
before the in the evil perfection was-destroyed cooperates and
πρὸς τὴν προκειμένην ἡμῶν ἀναγωγὴν τοῦ νοήματος καὶ
toward the set-before our higher-sense of-the thought also
τὰ ἐφεξῆς συμπαραλαμβανόμενα τῇ θεωρίᾳ τοῦ
the(-things) next taken-along with-the contemplation of-the
λόγου. Βούλεται γὰρ τροφὴν ἡμῶν γενέσθαι τὸ σῶμα,
word wishes for food our to-become the body
ὅθεν ἀπερρύη τὸ αἷμα, ὃ χωρίζει τοῦ ὀλοθρευτοῦ τῶν
whence flowed the blood which separates from-the destroyer of-the
Αἰγυπτίων, ἐπὶ τῶν εἰσόδων δεικνύμενον. Τό τε σχῆμα
Egyptians on the entrances being-shown the both shape
τῶν τὴν τροφὴν ταύτην προσφερομένων, σύντονόν
of-the(-ones) the food this taking strenuous

τε καὶ κατεσπουδασμένον εἶναι, οὐχ οἷον ἐπὶ τῶν
both and hurried to-be not such-as among the(-ones)
εὐπαθούντων ἐν συμποσίοις ὁρᾶται· ὧν ἄνετοι μὲν αἱ
faring-well in banquets is-seen whose loose indeed the
χεῖρες, ἐλαφραὶ δὲ ἱματίων ἐπιβολαί, τῆς τε ὁδοιπορικῆς
hands light and of-garments throwings-on of-the and traveling
παρασκευῆς οἱ πόδες ἐλεύθεροι· ἀλλ' ἐκ τοῦ ἐναντίου
equipment the feet free but from the opposite
τὰ πάντα. Πόδες μὲν διειλημμένοι τοῖς ὑποδήμασι,
the(-things) all feet indeed bound with-the sandals
ζώνη δὲ τὸ περιῤῥέον τοῦ χιτῶνος τῇ ἰξύϊ συσφίγγουσα,
(a)-girdle and the flowing of-the tunic at-the loin binding-tight
διὰ χειρὸς δὲ ἡ ἀμυντικὴ τῶν κυνῶν βακτηρία. Καὶ
through (the)-hand and the warding-off of-the dogs staff and
ἐν τούτῳ τῷ σχήματι προστίθεται αὐτοῖς ἡ βρῶσις ἄνευ
in this the shape is-set-before them the eating without
τινὸς ὀψαρτυτικῆς καρυκείας, ἐπὶ πυρὸς κατὰ τὸ
any of-cookery seasoning on fire as the(-thing)
συμβὰν ἐκ τοῦ παρατυχόντος σχεδιασθεῖσα, ἣν κατὰ
chancing from the(-thing) at-hand improvised which in
πᾶσαν ἔπειξιν ἁρπαλέως οἱ δαιτυμόνες καταναλίσκουσι,
all haste greedily the diners consume
μέχρις ἂν ἅπαν δαπανηθῇ τοῦ ζώου τὸ σῶμα· καὶ
until — all be-consumed of-the animal the body and
τῶν ὀστέων περιεσθίοντες, ὅσον ἐδώδιμον, τοῦ ἐντὸς
the bones eating-round as-much-as (is)-edible the inside
οὐ προσάπτονται. Τὸ γὰρ συντρίβειν τοῦ ζώου τούτου
not they-touch the for to-break of-the animal this
τὰ ὀστᾶ, τῶν ἀπειρημένων ἐστίν· ὅ τι δ' ἂν
the bones of-the(-things) forbidden is what — and —
ὑπολειφθείη τῆς βρώσεως, τῷ πυρὶ δεδαπάνηται. Ἐξ ὧν
should-be-left-over of-the eating by-the fire has-been-consumed from which

ἁπάντων δῆλόν ἐστιν, ὅτι πρός τινα ὑψηλοτέραν διάνοιαν
all clear it-is that to some loftier understanding
τὸ γράμμα βλέπει, οὐχὶ τὸν τρόπον τῆς βρώσεως
the letter looks not the manner of-the eating
ἡμῖν ὑφηγουμένου τοῦ νόμου (ἱκανὸς γὰρ τῶν τοιούτων
to-us guiding the law sufficient for of-the such(-things)
νομοθέτης ἡ φύσις, ἡ τὴν ὄρεξιν ἡμῖν τῆς τροφῆς
lawgiver (is)-the nature the(-one) the appetite in-us for-the food
ἐντιθεῖσα), ἀλλὰ ἕτερόν τι διὰ τούτων σημαίνεται.
placing but other something through these(-things) is-signified
Τί γὰρ ἂν παρὰ τοῦτο γένοιτο πρὸς ἀρετὴν ἢ κακίαν,
what for — in-respect-of this might-come toward virtue or vice
οὕτως ἢ οὕτως τὴν τροφὴν προσενέγκασθαι; λελυμένον
thus or thus the food to-take loosened
ἢ περιειλημμένον τῇ ζώνῃ, γυμνὸν τοὺς πόδας, ἢ
or girded-round with-the girdle naked in-the feet or
ἐνειλημμένον τοῖς ὑποδήμασι, διὰ χειρὸς ἔχοντα τὴν
wrapped in-the sandals through (the)-hand having the
βακτηρίαν, ἢ ἀποθέμενον; Ἀλλὰ δῆλον ἂν εἴη, ὅπερ
staff or having-laid-(it)-aside but clear — would-be what
ἡ τοῦ ὁδοιπορικοῦ σχήματος διασκευὴ δείκνυσι δι᾽
the of-the traveling shape arrangement shows through
αἰνίγματος. Κελεύει γὰρ ἄντικρυς ἐπιγνῶναι τὸν τῇδε
riddle he-commands for outright to-recognize the here
βίον, ὅτι παροδικῶς ἐπιφοιτῶμεν τῇ παρούσῃ ζωῇ, ἅμα
life that in-passing we-visit the present life together
τῇ γενέσει πρὸς τὴν ἔξοδον ὑπ᾽ αὐτῆς τῆς ἀνάγκης
with-the birth toward the exodus by itself the necessity
συνελαυνόμενοι, πρὸς ἣν παρεσκευάσθαι χρὴ χερσί
driven toward which to-have-been-prepared it-is-needful with-hands
τε καὶ ποσὶ, καὶ τῇ λοιπῇ τῇ πρὸς τὴν ὁδὸν ἀσφαλείᾳ.
both and feet and with-the remaining the for the road security

Καὶ ὡς ἂν μὴ ταῖς ἀκάνθαις τοῦ βίου τούτου (ἄκανθαι
and that — not by-the thorns of-the life this thorns
δ' ἂν εἶεν αἱ ἁμαρτίαι) γυμνοῖς τε καὶ ἀφυλάκτοις τοῖς
and — would-be the sins bare both and unguarded in-the
ποσὶ βλαβείημεν, τὴν τῶν ὑποδημάτων στερρότητα τῶν
feet we-should-be-harmed the of-the sandals firmness for-the
ποδῶν προβαλλώμεθα. Ταῦτα δέ ἐστιν ἐγκρατής τε καὶ
feet let-us-put-forward these and are self-controlled both and
κατεσκληκὼς βίος, ὁ θραύων δι' ἑαυτοῦ καὶ περικλῶν
hardened life the(-one) breaking through itself and breaking-off
τὰς τῆς ἀκάνθης ἀκμὰς, καὶ κωλύων ἐκ λεπτῆς τε καὶ
the of-the thorn points and preventing from slight both and
ἀφανοῦς ἀρχῆς τὴν ἁμαρτίαν ἐπὶ τὸ ἐντὸς παραδύεσθαι.
unseen beginning the sin into the inside to-slip-in
Ὅ τε τοῖς ποσὶ περικεχυμένος χιτὼν, καὶ μέχρι ποδῶν
the and about-the feet poured-around tunic and as-far-as (the)-feet
καθειμένος, ἐμπόδιον ἂν εἴη τῷ τὴν ὁδὸν ταύτην
let-down (a)-hindrance — would-be to-the(-one) the road this
κατὰ σπουδὴν διαθέοντι. Χιτὼν δ' ἂν ἡμῖν, κατὰ τὸ
in haste running-through (a)-tunic and — for-us in the
ἀκόλουθον, νοηθείη, ἡ ἀπολαυστικὴ τῶν ἐν τῷ
sequence might-be-understood the enjoying of-the(-things) in the
βίῳ τούτῳ σπουδαζομένων πλατύτης, ἣν εἰς ὀλίγον ὁ
life this pursued breadth which into little the
σώφρων λογισμὸς συστέλλει, ζώνη τοῦ ὁδοιποροῦντος
sober reasoning draws-together (a)-girdle of-the(-one) traveling
γινόμενος. Τὸ δὲ σωφροσύνην εἶναι τὴν ζώνην, μαρτύρεται
becoming the and self-control to-be the girdle is-attested
τῷ τρόπῳ, περὶ ὃν ἐνεργεῖται ἡ ζωή. Ἡ τ' αὖ τῶν
by-the manner about which is-worked the life the and in-turn of-the
θηρίων ἀμυντικὴ βακτηρία, ὁ τῆς ἐλπίδος λόγος ἐστὶν,
beasts warding-off staff the of-the hope word is

ᾧ καὶ τὸ καμμύον τῆς ψυχῆς ὑπερειδόμεν, καὶ τὸ
by-which also the drooping of-the soul we-prop-up and the
ὑλακτοῦν ἀμυνόμεθα. Ἐκ πυρὸς δὲ προτεθεῖσαν ἡμῖν τὴν
barking(-thing) we-ward-off from fire and set-before us the
ἐδωδὴν, τὴν θερμὴν ταύτην λέγω καὶ ἔκπυρον πίστιν,
eating the hot this I-mean and fiery faith
ἣν ἀμελλητὶ προσδεχόμεθα, ἧς ἐμφαγόντες ὅσον ἐκ
which without-delay we-receive of-which having-eaten as-much-as from
προχείρου γίνεται ληπτὸν τῷ ἐσθίοντι, καὶ τὸν
(the)-ready becomes graspable to-the(-one) eating also the(-thing)
κεκρυμμένον τοῖς στερροτέροις τε καὶ δυστρίπτοις νοήμασι,
hidden in-the firmer both and hard-to-grind thoughts
καὶ τῷ λόγῳ, ἀπεριέργαστόν τε καὶ ἀπολυπραγμόνητον
and in-the reason unexamined both and uninquired-into
καταλιμπάνομεν, τῷ πυρὶ προτιθέντες τὴν τοιαύτην
we-leave to-the fire setting-before the such
τροφήν. Ὡς δ' ἂν σαφηνισθείη τὰ περὶ τούτων αἰνίγματα,
food that and — might-be-made-clear the about these(-things) riddles
ταῦτά φαμεν, ὅτι τῶν θείων παραγγελμάτων ὅσα
these(-things) we-say that of-the divine precepts as-many-as
μὲν πρόχειρον τὴν κατανόησιν ἔχει, οὐ νωθρῶς, οὐδὲ
indeed ready the understanding have not sluggishly nor
κατηναγκασμένως μετιέναι προσήκει· ἀλλ' οἷον πεινῶντας
under-compulsion to-pursue it-befits but as hungering
καὶ μετ' ὀρέξεως ἐμφορεῖσθαι τῶν προκειμένων, ὥστε
and with appetite to-be-filled of-the(-things) set-before so-as
γενέσθαι τὴν τροφὴν ἡμῖν εὐεξίας ἐφόδιον. Ὅσα δὲ
to-become the food for-us of-good-condition (a)-provision as-many-as but
κέκρυπται τῶν νοημάτων, οἷον τὸ ζητεῖν, τίς ἡ οὐσία
are-hidden of-the thoughts as the to-seek what (is)-the substance
τοῦ Θεοῦ; τί πρὸ τῆς κτίσεως ἦν; τί τὸ ἔξω
— of-God what before the creation was what the(-thing) outside

τῶν φαινομένων; τίς ἡ ἀνάγκη τῶν γινομένων; καὶ
the appearing(-things) what the necessity of-the(-things) happening and
ὅσα τοιαῦτα ὑπὸ τῶν περιέργων ἐρευνᾶται· τῷ ἁγίῳ
as-many-as such(-things) by the curious are-searched to-the holy
Πνεύματι συγχωρεῖν μόνῳ γινώσκειν, τῷ τὰ βάθη
Spirit to-concede alone to-know to-the(-one) the depths
τοῦ Θεοῦ διερευνῶντι, καθώς φησιν ὁ Ἀπόστολος. Τὸ γὰρ
— of-God searching as says the Apostle the for
ἀντὶ τοῦ Πνεύματος ὑπὸ τῆς Γραφῆς πολλαχῆ τὸ πῦρ
instead-of the Spirit by the Scripture in-many-places the fire
μνημονεύεσθαί τε καὶ ὀνομάζεσθαι, οὐκ ἄν τις τῶν
to-be-remembered both and to-be-named not — anyone of-the(-ones)
πεπαιδευμένων τὴν Γραφὴν ἀγνοήσειε. Προσάγει δὲ τῇ
educated-in the Scripture would-be-ignorant-of brings and to-the
τοιαύτῃ διανοίᾳ ἡμᾶς καὶ τὸ τῆς Σοφίας παράγγελμα,
such understanding us also the of-the Wisdom precept
ὅτι «Ἰσχυρότερά σου μὴ ἐρεύνα,» τουτέστι, τὰ ὀστᾶ
that stronger(-things) than-you not search that-is the bones
τοῦ λόγου μὴ σύντριβε· οὐ γάρ σοι χρεία τῶν κρυπτῶν.
of-the word not break not for to-you (is)-need of-the hidden(-things)

The people carry off the Egyptians' wealth: the virtuous should take the riches of pagan learning and offer them for the tabernacle of the mystery, as Basil did. After the exodus come temptations and fears, but the leader's silent cry is heard, the cloud of the Spirit goes ahead, and the sea of baptism drowns the pursuing army of the passions, its horses and its three-man chariots the three parts of the soul. All the passions must die in that water; whoever comes up still holding his stolen gains is still a slave.

16 Οὕτως ἐκβάλλει τῆς Αἰγύπτου ὁ Μωϋσῆς τὸν λαόν· καὶ
thus drives-out from-the Egypt — Moses the people and
πᾶς ὁ τῷ Μωϋσεῖ κατ᾽ ἴχνος ἑπόμενος, τῷ τρόπῳ
every the(-one) — Moses in (his)-track following in-the manner
τούτῳ τῆς Αἰγυπτίας τυραννίδος ἐλευθεροῖ πάντας, ὧν
this from-the Egyptian tyranny frees all whom
ἂν ὁ λόγος καθηγῆται. Δεῖ δὲ, οἶμαι, τοὺς ἑπομένους
— the word may-lead must and I-think the(-ones) following
τῷ πρὸς ἀρετὴν ἡγουμένῳ, μὴ πένητας εἶναι τοῦ
the(-one) toward virtue leading not poor to-be of-the
Αἰγυπτίου πλούτου, μηδὲ τῶν ἀλλοφύλων κειμηλίων
Egyptian wealth nor of-the foreign treasures
ἀκτήμονας, ἀλλὰ τὰ προσόντα τοῖς ἐναντίοις πάντα
without-possession but the(-things) belonging to-the opponents all
λαβόντας, ἐν χρήσει παρ᾽ ἑαυτοῖς ἔχειν· ὅπερ τότε ποιῆσαι
having-taken on loan with themselves to-have which then to-do
παρὰ τοῦ Μωϋσέως ὁ λαὸς παραγγέλλεται. Τοῦτο δὲ οὐκ
by — Moses the people is-commanded this but not
ἄν τις ἐκ τοῦ προχείρου νοήσας, ἀποδέξαιτο τοῦ
— anyone from the ready having-understood would-accept of-the
νομοθέτου τὴν γνώμην, εἰ ἀποστερεῖν τοὺς χρήσαντας
lawgiver the counsel if to-defraud the(-ones) having-lent

ἐγκελεύεται, καὶ ὑφηγητὴς ἀδικίας γίνεται. Ἀλλ᾽ οὐδ᾽
he-commands and (a)-guide of-injustice becomes but not
ἂν κατ᾽ ἀλήθειάν τις εἴποι ταῦτα διατάσσειν τὸν
— in truth anyone would-say these(-things) to-order the
νομοθέτην, πρὸς τοὺς ἐφεξῆς βλέπων νόμους, τοὺς
lawgiver to the following looking laws the(-ones)
ἄνω καὶ κάτω τὴν κατὰ τοῦ πέλας ἀδικίαν κωλύοντας,
up and down the against the neighbor injustice preventing
κἂν τισι δοκῇ εὔλογον εἶναι τὸ ἔργον, τὰ μισθώματα
even-if to-some it-seem reasonable to-be the deed the wages
παρὰ τῶν Αἰγυπτίων τοὺς Ἰσραηλίτας διὰ τῆς ἐπινοίας
from the Egyptians the Israelites through the device
ταύτης εἰσπράττεσθαι. Οὐδὲ γὰρ ἧττον ἔγκλημά τί
this to-exact not-even for less charge any
ἐστι, μὴ καθαρεύειν ψεύδους τε καὶ ἀπάτης τὸ τοιοῦτον
is not to-be-clean of-falsehood both and deceit the such
παράγγελμα. Ὁ γὰρ ἐν χρήσει λαβών τι, καὶ
precept the(-one) for on loan having-taken anything and
μὴ ἀποδιδοὺς πάλιν τῷ χρήσαντι, εἰ μὲν ἀλλότριον
not giving-back again to-the(-one) having-lent if indeed another's
εἴη, ὡς ἀποστερήσας ἠδίκησεν· εἰ δὲ τὸ ἑαυτοῦ κρατοίη,
it-be as having-defrauded be-wronged if but the his-own he-should-hold
ὡς παραλογισάμενος τὸν ἐλπίδι τοῦ λαβεῖν χρήσαντα,
as having-deceived the(-one) by-hope of-the to-receive having-lent
πάντως ἀπατεὼν ὠνόμασται. Οὐκοῦν ὁ ὑψηλότερος λόγος
wholly (a)-cheat he-is-called so the loftier sense
τῆς προχείρου διανοίας ἁρμοδιώτερος, ὁ κελεύων
than-the ready understanding (is)-more-fitting the(-one) bidding
τοὺς τὸν ἐλεύθερον βίον μετιόντας δι᾽ ἀρετῆς, καὶ
the(-ones) the free life pursuing through virtue also
τὸν ἔξωθεν τῆς παιδεύσεως πλοῦτον παρασκευάζεσθαι,
the outside of-the education wealth to-provide-themselves

ᾧ οἱ κατὰ τὴν πίστιν ἀλλόφυλοι καλλωπίζονται.
with-which the in the faith foreigners are-adorned
Τήν τε γὰρ ἠθικὴν καὶ φυσικὴν φιλοσοφίαν, γεωμετρίαν
the both for moral and natural philosophy geometry
τε καὶ ἀστρονομίαν, καὶ τὴν λογικὴν πραγματείαν,
both and astronomy and the logical study
καὶ πάντα ὅσα παρὰ τοῖς ἔξω τῆς Ἐκκλησίας
and all as-many-as among the(-ones) outside of-the Church
σπουδάζεται, κελεύει ὁ τῆς ἀρετῆς καθηγούμενος παρὰ
is-pursued bids the of-the virtue leader from
τῶν τὰ τοιαῦτα πλουτούντων ἐν Αἰγύπτῳ λαβόντα λόγῳ
the(-ones) the such(-things) being-rich-in in Egypt having-taken by-way
χρήσεως ὑποδέξασθαι, ὡς ἐν καιρῷ χρησιμευόντων, ὅταν
of-loan to-receive as in season being-useful when
δέῃ τὸν θεῖον τοῦ μυστηρίου ναὸν διὰ τοῦ λογικοῦ
it-be-needful the divine of-the mystery temple through the rational
πλούτου καλλωπισθῆναι. Οἱ γὰρ τὸν τοιοῦτον ἑαυτοῖς
wealth to-be-adorned the(-ones) for the such for-themselves
θησαυρίζοντες πλοῦτον, προσάγουσι τῷ Μωϋσεῖ περὶ
treasuring-up wealth bring — to-Moses about
τὴν σκηνὴν τοῦ μαρτυρίου πονοῦντι τὸ παρ᾽ ἑαυτοῦ
the tabernacle of-the testimony laboring the(-thing) from himself
ἕκαστος, πρὸς τὴν τῶν ἁγίων κατασκευὴν συνεισφέρων·
each toward the of-the holy(-things) construction contributing
ὃ δὴ καὶ νῦν ἔστιν ἰδεῖν γινόμενον. Πολλοὶ τὴν
which indeed also now it-is-possible to-see happening many the
ἔξω παίδευσιν τῇ Θεοῦ Ἐκκλησίᾳ καθάπερ τι δῶρον
outside education to-the of-God Church as-if some gift
προσάγουσιν, οἷος ἦν ὁ μέγας Βασίλειος, ὁ καλῶς τὸν
bring such-as was the great Basil the(-one) well the
Αἰγύπτιον πλοῦτον ἐμπορευσάμενος, κατὰ τὸν τῆς νεότητος
Egyptian wealth having-traded-in during the of-the youth

χρόνον, καὶ ἀναθεὶς τῷ Θεῷ, καὶ τῷ τοιούτῳ
time and having-dedicated(-it) — to-God and with-the such
πλούτῳ κατακοσμήσας τὴν ἀληθῆ τῆς Ἐκκλησίας σκηνήν.
wealth having-adorned the true of-the Church tabernacle
Ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν, ὅτι τοῖς πρὸς ἀρετὴν 17
but one-must-return whence we-digressed that to-the(-ones) toward virtue
ἤδη βλέπουσι, καὶ τῷ νομοθέτῃ κατὰ τὴν ζωὴν ἑπομένοις,
already looking and the lawgiver in the life following
ὅταν καταλίπωσι τῆς τῶν Αἰγυπτίων δυναστείας τοὺς
when they-leave of-the of-the Egyptians dominion the
ὅρους, ἐπακολουθοῦσί πως αἱ τῶν πειρασμῶν προσβολαὶ,
boundaries follow somehow the of-the temptations assaults
στενοχωρίας τε καὶ φόβους καὶ τοὺς περὶ τῶν ἐσχάτων
straits both and fears and the about the uttermost
κινδύνους ἐπάγουσαι· δι' ὧν καταπτοηθεῖσα τῶν κατὰ
dangers bringing-on by which terrified of-the(-ones) in
τὴν πίστιν νεοπαγῶν ἡ διάνοια, εἰς παντελῆ τῶν ἀγαθῶν
the faith newly-fixed the mind into utter of-the goods
ἀνελπιστίαν ἐκπίπτει. Ἀλλ' εἰ Μωϋσῆς, ἤ τις τῶν
hopelessness falls-out but if Moses or one of-the(-ones)
κατ' αὐτὸν ἐπιστατῶν τοῦ λαοῦ τύχοι, ἀντιστήσει τῷ
like him presiding-over the people happen-to-be he-will-set-against the
φόβῳ τὴν συμβουλὴν, τῇ τῆς θείας συμμαχίας ἐλπίδι
fear the counsel with-the of-the divine alliance hope
τὸ κατεπτηχὸς τῆς διανοίας παραθαρσύνων, ὅπερ οὐκ
the cowering of-the mind encouraging which not
ἂν γένοιτο, μὴ τῆς καρδίας τοῦ προεστηκότος τῷ
— could-happen not the heart of-the(-one) presiding —
Θεῷ λαλούσης. Τοῖς γὰρ πολλοῖς τῶν ἐν προστασίᾳ
in comprehension coming of-the real understanding as-much-as
προσεγγίζει μᾶλλον τῇ θεωρίᾳ, τοσούτῳ πλέον ὁρᾷ τὸ
it-approaches more the contemplation so-much more it-sees the
τῆς θείας φύσεως ἀθεώρητον. Καταλιπὼν γὰρ πᾶν τὸ
of-the divine nature uncontemplatable having-left for all the
φαινόμενον, οὐ μόνον ὅσα καταλαμβάνει ἡ αἴσθησις,
appearing not only as-many-as grasps the sense
ἀλλὰ καὶ ὅσα ἡ διάνοια δοκεῖ βλέπειν· ἀεὶ πρὸς τὸ
but also as-many-as the mind seems to-see always toward the
ἐνδότερον ἴεται, ἕως ἂν διαδυῇ τῇ πολυπραγμοσύνῃ
more-inward it-presses until — it-slip-through by-the busy-searching
τῆς διανοίας πρὸς τὸ ἀθέατόν τε καὶ ἀκατάληπτον, κἀκεῖ
of-the mind to the unseen both and incomprehensible and-there
τὸν Θεὸν ἴδῃ. Ἐν τούτῳ γὰρ ἡ ἀληθής ἐστιν εἴδησις
— God it-should-see in this for the true is knowledge
τοῦ ζητουμένου, τὸ ἐν τούτῳ τὸ ἰδεῖν, ἐν τῷ μὴ ἰδεῖν·
of-the(-thing) sought the in this the to-see in the not to-see
ὅτι ὑπέρκειται πάσης εἰδήσεως τὸ ζητούμενον, οἷόν
because transcends all knowledge the(-thing) sought as
τινι γνόφῳ τῇ ἀκαταληψίᾳ πανταχόθεν διειλημμένον.
by-some thick-darkness by-the incomprehensibility on-all-sides enclosed
Διό φησι καὶ ὁ ὑψηλὸς Ἰωάννης, ὁ ἐν τῷ λαμπρῷ
therefore says also the lofty John the(-one) in the bright
γνόφῳ τούτῳ γενόμενος, ὅτι «Θεὸν οὐδεὶς ἑώρακε
thick-darkness this having-come that God no-one has-seen
πώποτε·» οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ πάσῃ
ever not only to-the men but also to-every

νοητῇ φύσει τῆς θείας οὐσίας τὴν γνῶσιν ἀνέφικτον
intelligible nature of-the divine substance the knowledge unattainable
εἶναι, τῇ ἀποφάσει ταύτῃ διοριζόμενος.
to-be by-the negation this defining
25 Ὅτε οὖν μείζων ἐγένετο κατὰ τὴν γνῶσιν ὁ Μωϋσῆς,
when then greater became in the knowledge — Moses
τότε ὁμολογεῖ τὸν Θεὸν ἐν γνόφῳ ἰδεῖν, τουτέστι, τότε
then he-confesses — God in thick-darkness to-see that-is then
γνῶναι, ὅτι ἐκεῖνό ἐστι τῇ φύσει τὸ Θεῖον, ὃ πάσης
to-know that that is by-the nature the Divine which than-all
γνώσεώς τε καὶ καταλήψεώς ἐστιν ἀνώτερον. Εἰσῆλθε γὰρ,
knowledge both and comprehension is higher entered for
φησὶ, Μωϋσῆς εἰς τὸν γνόφον, οὗ ἦν ὁ Θεός. Τίς ὁ
he-says Moses into the thick-darkness where was — God who —
Θεός; ὃς ἔθετο τὸ σκότος ἀποκρυφὴν αὐτοῦ, καθώς φησι
God who made the darkness hiding-place his as says
Δαβὶδ, ὁ ἐν τῷ αὐτῷ μυηθεὶς τὰ ἀπόῤῥητα. Ὁ
David the(-one) in the same initiated-into the secret(-things) the(-one)
δὲ ἐκεῖ γεγονὼς, ἃ προεπαιδεύθη διὰ τοῦ γνόφου,
and there having-come what he-was-taught-beforehand through the thick-darkness
πάλιν διὰ τοῦ γνόφου διδάσκεται· ὡς ἂν, οἶμαι,
again through the thick-darkness is-taught that — I-think
παγιώτερον ἡμῖν τὸ περὶ τούτου γένηται δόγμα, τῇ θείᾳ
more-firm to-us the about this might-become doctrine by-the divine
φωνῇ μαρτυρούμενον. Ἀπαγορεύει γὰρ ἐν πρώτοις ὁ θεῖος
voice attested forbids for in first(-things) the divine
λόγος, πρὸς μηδὲν τῶν γινωσκομένων ὁμοιοῦσθαι
word to nothing of-the(-things) known to-be-likened
παρὰ τῶν ἀνθρώπων τὸ Θεῖον· ὡς παντὸς νοήματος
by the men the Divine as every thought
τοῦ κατά τινα περιληπτικὴν φαντασίαν ἐν περινοίᾳ
of-the according-to some comprehensive impression in conception

τινὶ καὶ στοχασμῷ τῆς φύσεως γινομένου, εἴδωλον Θεοῦ
some and guessing of-the nature coming-about (an)-idol of-God
πλάσσοντος καὶ οὐ Θεὸν καταγγέλλοντος. Διχῇ δὲ τῆς
fashioning and not God proclaiming in-two and the
κατ᾽ εὐσέβειαν ἀρετῆς διῃρημένης, εἴς τε τὸ Θεῖον, καὶ
by piety virtue divided into both the Divine and
εἰς τὴν τοῦ ἤθους κατόρθωσιν· μέρος γὰρ εὐσεβείας, καὶ
into the of-the character achievement part for of-piety also
ἡ τοῦ ἤθους καθαρότης ἐστί· μαθὼν ἐν πρώτοις, ἃ
the of-the character purity is having-learned in first(-things) what
χρὴ περὶ Θεοῦ γινώσκειν· τὸ δέ γε γινώσκειν ἦν, τὸ
one-must about God know the and at-least to-know was the
μηδὲν περὶ αὐτοῦ τῶν ἐξ ἀνθρωπίνης καταλήψεως
nothing about him of-the(-things) from human comprehension
γινωσκομένων εἰδέναι· οὕτως τὸ ἕτερον τῆς ἀρετῆς εἶδος
known to-know thus the other of-the virtue form
διδάσκεται, μανθάνων ἐν οἵοις ἐπιτηδεύμασιν ὁ ἐνάρετος
he-is-taught learning in what-sort-of pursuits the virtuous
κατορθοῦται βίος. Μετὰ τοῦτο ἐν τῇ ἀχειροποιήτῳ
is-achieved life after this in the not-made-with-hands
σκηνῇ γίνεται. Τίς ἀκολουθήσει τῷ διὰ τῶν τοιούτων
tabernacle he-comes who will-follow the(-one) through the such(-things)
ὁδεύοντι, καὶ ἐπὶ τοσοῦτον ὑψουμένῳ τὸν νοῦν; ὃς
traveling and to so-great being-raised in-the mind who
καθάπερ τινὰ κορυφὴν ἐκ κορυφῆς μεταλαμβάνων,
as-if some peak from peak taking-in-turn
διὰ τῆς τῶν ὑψηλῶν ἀναβάσεως, ἀεὶ ἑαυτοῦ γίνεται
through the of-the lofty ascent always than-himself becomes
ὑψηλότερος. Πρῶτον κατέλιπε τὴν ὑπώρειαν, πάντων
loftier first he-left the foothills from-all
τῶν πρὸς τὴν ἄνοδον ἀτονησάντων ἀποκριθείς. Εἶτα
the(-ones) for the ascent having-been-too-weak separated then

δέχεται τῇ ἀκοῇ τὰς τῶν σαλπίγγων φωνὰς, τῷ
he-receives with-the hearing the of-the trumpets sounds with-the
ὕψει τῆς ἀνόδου συνεπαιρόμενος. Ἐπὶ τούτοις, εἰς τὸ
height of-the ascent lifted-along upon these(-things) into the
ἀόρατον τῆς θεογνωσίας ἄδυτον παραδύεται· καὶ οὐδὲ
invisible of-the knowledge-of-God sanctuary he-slips and not-even
ἐν τούτῳ μένει, ἀλλ' ἐπὶ τὴν ἀχειροποίητον μεταβαίνει
in this he-remains but to the not-made-with-hands he-passes
σκηνήν. Τῷ ὄντι γὰρ ἐπὶ τοῦτο καταντᾷ τὸ πέρας,
tabernacle in-the reality for to this arrives the limit
ὁ διὰ τῶν τοιούτων ἀνόδων ὑψούμενος. Δοκεῖ γάρ
the(-one) through the such ascents being-raised it-seems for
μοι καὶ καθ' ἕτερον νοῦν διδάσκαλος ἡ οὐρανία σάλπιγξ
to-me also in another sense (a)-teacher the heavenly trumpet
τῆς ἐπὶ τὴν ἀχειροποίητον πάροδον τῷ ἐπανιόντι
of-the to the not-made-with-hands way-in to-the(-one) going-up
γίνεσθαι. Ἡ γὰρ τῶν κατ' οὐρανὸν θαυμάτων διασκευὴ,
to-become the for of-the in heaven wonders arrangement
τὴν ἐκφαινομένην τοῖς οὖσι σοφίαν διαβοῶσα, καὶ τὴν
the shown-forth in-the beings wisdom crying-out and the
μεγάλην τοῦ Θεοῦ δόξαν τῶν φαινομένων διηγουμένη,
great — of-God glory of-the appearing(-things) narrating
κατὰ τὸ εἰρημένον, ὅτι «Οἱ οὐρανοὶ διηγοῦνται
according-to the(-thing) said that the heavens narrate
δόξαν Θεοῦ·» αὕτη τῷ τρανῷ τε καὶ εὐήχῳ τῆς
(the)-glory of-God this by-the clear both and well-sounding of-the
διδασκαλίας σάλπιγξ μεγαλόφωνος γίνεται, καθά φησί τις
teaching (a)-trumpet loud-voiced becomes as says one
τῶν προφητῶν, ὅτι «Ἐσάλπισεν ὁ Θεὸς ἄνωθεν.» Ὁ
of-the prophets that trumpeted — God from-above the(-one)
δὲ κεκαθαρμένος τε καὶ ὀξὺς τὴν ἀκοὴν τῆς καρδίας, τὴν
and purified both and sharp in-the hearing of-the heart the

ἠχὴν ταύτην δεξάμενος, λέγω δὴ τὴν ἐκ τῆς θεωρίας
sound this having-received I-mean indeed the from the contemplation
τῶν ὄντων γινομένην πρὸς τὴν τῆς θείας δυνάμεως
of-the beings coming toward the of-the divine power
γνῶσιν, ὁδηγεῖται δι᾽ αὐτῆς πρὸς τὸ ἐκεῖ διαδῦναι τῇ
knowledge is-guided through it toward the there to-slip-in with-the
διανοίᾳ, ὅπου ἐστὶν ὁ Θεός. Τοῦτο δὲ γνόφος ὑπὸ τῆς
mind where is — God this and thick-darkness by the
Γραφῆς ὀνομάζεται, ὃ δὴ ἑρμηνεύεται, καθὼς εἴρηται,
Scripture is-named which indeed is-interpreted as has-been-said
τὸ ἄγνωστόν τε καὶ ἀθεώρητον, ἐν ᾧ γινόμενος τὴν
the unknown both and uncontemplatable in which coming the
ἀχειροποίητον ἐκείνην σκηνὴν βλέπει, ἣν διὰ τῆς ὑλικῆς
not-made-with-hands that tabernacle he-sees which through the material
μιμήσεως τοῖς κάτω δείκνυσι.
imitation to-the(-ones) below he-shows

XVII · THE TABERNACLE NOT MADE WITH HANDS

Moses is shown the tabernacle not made with hands, the archetype of the one he is to build. The heavenly tabernacle is Christ, the power and wisdom of God; the name tabernacle, like physician or door, fits him in a God-befitting sense. Its pillars, rings, and cherubim are the heavenly powers; its lamp the Spirit's gifts; its altar all creation's praise; its red skins and woven hair the saving passion.

Τί οὖν ἡ ἀχειροποίητος ἐκείνη σκηνή; ἡ 26
what then (is)-the not-made-with-hands that tabernacle the(-one)
παραδεικνυμένη τῷ Μωϋσεῖ κατὰ τὸ ὄρος, πρὸς ἣν
shown — to-Moses on the mountain to which
κελεύεται βλέπειν, ὡς εἰς ἀρχέτυπον, διὰ τῆς χειροτμήτου
he-is-commanded to-look as to (an)-archetype through the hand-cut

κατασκευῆς δεῖξαι τὸ ἀχειροποίητον θαῦμα. «Ὅρα γὰρ,
construction to-show the not-made-with-hands wonder see for
φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι
he-says you-shall-make all-(things) according-to the pattern the shown to-you
ἐν τῷ ὄρει.» Στύλοι χρύσεοι βάσεσιν ἀργυραῖς ἐρηρεισμένοι,
in the mountain pillars golden on-bases silver propped
καὶ κεφαλαῖς ὡσαύτως ἀργυραῖς· ἐπιπρέποντες πάλιν ἕτεροι
and with-capitals likewise silver standing-out again other
στύλοι, ὧν κεφαλαὶ μὲν καὶ βάσεις ἐκ χαλκοῦ τῆς ὕλης·
pillars whose capitals indeed and bases of bronze the material
τὸ δὲ διὰ μέσου τῶν ἄκρων, ἄργυρος. Πᾶσι δὲ τούτοις
the but through (the)-middle of-the ends silver to-all and these
ἔρεισμα μὲν ξύλινον ἦν, σηπεδόνα μὴ προσδεχόμενον. Ἐν
(the)-prop indeed wooden was rot not admitting in
κύκλῳ δὲ, κατὰ τὸ φαινόμενον, ἡ αὐγὴ τῶν τοιούτων
(a)-circle and according-to the appearing the brightness of-the such
ὑλῶν περιεκέχυτο, καὶ κιβωτός τις ὡσαύτως ἐν ἀκηράτῳ
materials was-poured-around and ark some likewise in pure
στίλβουσα τῷ χρυσῷ· τὸ δὲ διερεῖδον τὴν τοῦ χρυσίου
gleaming with-the gold the and propping-up the of-the gold
περιβολὴν, καὶ αὐτὸ ξύλον ἦν σῆψιν οὐ προσδεχόμενον.
covering also itself wood was rot not admitting
Λυχνία τις ἐπὶ τούτοις, μία μὲν κατὰ τὸν πυθμένα
lampstand some upon these(-things) one indeed at the bottom
τῆς βάσεως, ἑπτὰ δὲ κλάδοις κατὰ τὸ ἄκρον διῃρημένη,
of-the base seven but into-branches at the top divided
ἰσαρίθμους κύκλους ἐπὶ τῶν κλάδων ἀνέχουσα. Χρυσὸς δὲ
equal-in-number rings on the branches holding-up gold and
ἦν τῆς λυχνίας ἡ ὕλη, οὐδὲν τῆς κατασκευῆς κοῖλον ἔχων,
was of-the lampstand the material nothing of-the construction hollow having
οὐδὲ ξύλῳ διερειδόμενον. Θυσιαστήριον δὲ πρὸς τούτοις
nor by-wood propped altar and besides these(-things)

καὶ ἱλαστήριον· καὶ τὰ λεγόμενα χερουβὶμ, ὧν ταῖς
and mercy-seat and the(-things) called cherubim whose with-the
πτέρυξιν ἡ κιβωτὸς ἐσκιάζετο. Πάντα ταῦτα χρυσὸς ἦν,
wings the ark was-shaded all these(-things) gold was
οὐκ ἐπιπόλαιον παρέχων τῇ ἐπιφανείᾳ τὴν εὔχροιαν, ἀλλὰ
not superficial affording to-the surface the fair-color but
δι' ὅλου ὁ αὐτὸς ἦν, μέχρι τοῦ βάθους διηκούσης τῆς
through whole the same it-was as-far-as the depth reaching the
ὕλης. Ποικίλα τε πρὸς τούτοις ἐξ ὑφαντικῆς φιλοτεχνίας
material varied and besides these(-things) from weaver's art
καταπετάσματα, διαφόρων ἀνθῶν ἐπαλλήλοις πρὸς τὴν
veils of-different flowers successive toward the
τοῦ ὑφάσματος ὥραν συμπλεκομένων· οἷς διεκρίνετο
of-the woven-work beauty interwoven by-which was-distinguished
τῆς σκηνῆς ὅσον ὁρατόν τε καὶ βάσιμόν τισι τῶν
of-the tabernacle as-much-as visible both and accessible to-some of-the(-ones)
ἱερουργούντων ἦν, καὶ ὅσον ἄδυτόν τε καὶ ἀνεπίβατον·
ministering was and as-much-as sanctuary both and inaccessible
ὄνομα δὲ, τὸ μὲν προτεταγμένον, ἅγιον ἦν, τὸ δὲ
(the)-name and the indeed set-before holy was the but
ἀποκεκρυμμένον, ἅγιον ἁγίων. Λουτῆρες ἐπὶ τούτοις, καὶ
hidden holy of-holies lavers upon these(-things) and
πυρεῖα, καὶ ἡ ἔξωθεν τῶν αὐλαίων περιβολὴ, καὶ δέῤῥεις
fire-pans and the outside of-the curtains enclosure and skins
ἐκ τριχῶν, καὶ δέρματα πεφοινιγμένα τῷ ἐρυθήματι·
of hairs and hides reddened with-the red
καὶ ὅσα ἄλλα διασκευάζει τῷ λόγῳ, τίς ἂν δι'
and as-many-as other(-things) he-arranges in-the word what — with
ἀκριβείας λόγος κατανοήσειε; ποίων ἀχειροποιήτων
exactness account could-understand of-what-sort not-made-with-hands(-things)
ἐστὶ ταῦτα μιμήματα; καὶ τί φέρει τοῖς ὁρῶσι
are these imitations and what brings to-the(-ones) seeing

κέρδος, τῶν ἐκεῖ ὀφθέντων ὑπὸ τοῦ Μωϋσέως, ἢ
gain of-the(-things) there seen by — Moses the
ἐπὶ τῆς ὕλης μίμησις; Ἀλλά μοι δοκεῖ καλῶς ἔχειν, τὸν
on the matter imitation but to-me seems well to-be the
μὲν ἀκριβῆ περὶ τούτων λόγον καταλιπεῖν ἐκείνοις, οἳ
indeed exact about these(-things) account to-leave to-those who
διὰ τοῦ Πνεύματος τὰ βάθη τοῦ Θεοῦ ἐρευνᾶν δύναμιν
through the Spirit the depths — of-God to-search power
ἔχουσιν· εἰ δή τις τοιοῦτός ἐστιν, ὡς Πνεύματι λαλεῖν
have if indeed anyone such is as by-(the)-Spirit to-speak
μυστήρια, καθώς φησιν ὁ Ἀπόστολος. Ὃ δὲ παρ' ἡμῶν
mysteries as says the Apostle what but by us
στοχαστικῶς ὑπονοούντων περὶ τοῦ προκειμένου νοήματος
conjecturally surmising about the set-before thought
λέγεται, τοῦτο ἐπὶ τῇ κρίσει τῶν ἐντυγχανόντων
is-said this to the judgment of-the(-ones) reading
ποιήσομεν ὡς ἢ ἀπόβλητον, ἢ ἀπόδεκτον νομισθῆναι,
we-shall-make so-as either rejectable or acceptable to-be-thought
ὅπως ἂν ἡ διάνοια τοῦ κρίνειν ἐπεσκεμμένου λογίσηται.
however — the mind of-the(-one) to-judge having-considered may-reckon
27 Φαμὲν τοίνυν, ἐν μέρει τὸ ἐν τούτοις μυστήριον τοῦ Παύλου
we-say therefore in part the in these(-things) mystery — Paul
παραγυμνώσαντος, βραχεῖαν ἐκ τῶν εἰρημένων ἀφορμὴν
having-laid-bare brief from the(-things) said occasion
λαβόντες, ὅτι ἐν τύπῳ προεπαιδεύθη Μωϋσῆς τὸ περὶ τῆς
having-taken that in type was-taught-beforehand Moses the about the
σκηνῆς τῆς τὸ πᾶν περιεχούσης μυστήριον. Αὕτη δ' ἂν
tabernacle the the all containing mystery this and —
εἴη Χριστὸς, ἡ τοῦ Θεοῦ δύναμις καὶ ἡ τοῦ Θεοῦ σοφία,
would-be Christ the — of-God power and the — of-God wisdom
ἣ ἀχειροποίητος οὖσα κατὰ τὴν ἰδίαν φύσιν, δέχεται τὸ
which not-made-with-hands being in the own nature admits the

κατασκευασθῆναι, ὅταν ἐν ἡμῖν δέῃ τὴν σκηνὴν ταύτην
to-be-constructed when in us it-be-needful the tabernacle this
παγῆναι· ὥστε τὴν αὐτὴν, τρόπον τινὰ, καὶ ἀκατάσκευον
to-be-pitched so-that the same in-manner some both unconstructed
καὶ κατεσκευασμένην εἶναι· τῷ μὲν προϋπάρχειν, ἄκτιστον,
and constructed to-be by-the indeed pre-existing uncreated
τῷ δὲ ὑλικὴν ταύτην δέξασθαι σύστασιν, κτιστὴν γενομένην.
by-the but material this to-receive constitution created having-become
Τάχα οὐκ ἀσαφὲς τὸ λεγόμενον τοῖς παραδεξαμένοις 28
perhaps not obscure the(-thing) said to-the(-ones) having-received
ἀκριβῶς τὸ τῆς πίστεως ἡμῶν μυστήριον. Ἓν γάρ ἐστιν
exactly the of-the faith our mystery one for is
ἐκ πάντων, ὃ καὶ πρὸ αἰώνων ἦν, καὶ ἐπ' ἐσχάτων
of all which also before ages was and at (the)-last
τῶν αἰώνων ἐγένετο, ὃ τοῦ μὲν γενέσθαι χρονικῶς
of-the ages came-to-be which the indeed to-come-to-be in-time
οὐκ ἐδέετο· πῶς γὰρ τὸ πρὸ χρόνων καὶ αἰώνων
not needed how for the(-thing) before times and ages
δεηθείη χρονικῆς γενέσεως; δι' ἡμᾶς δὲ τοὺς ἐξ
could-need temporal generation because-of us and the(-ones) from
ἀβουλίας τὸ εἶναι παραφθείραντας, ἀνεδέξατο τὸ καθ'
ill-counsel the to-be having-corrupted he-undertook the like
ἡμᾶς γενέσθαι, ἵνα τὸ ἔξω τοῦ ὄντος γινόμενον, εἰς
us to-come-to-be that the(-thing) outside the being becoming into
τὸ ὂν πάλιν ἐπαναγάγῃ. Τοῦτο δέ ἐστιν ὁ μονογενὴς
the being again he-might-bring-back this and is the only-begotten
Θεὸς, ὁ ἐν αὐτῷ μὲν περιέχων τὸ πᾶν, πηξάμενος
God the(-one) in himself indeed containing the all having-pitched
δὲ καὶ ἐν ἡμῖν τὴν ἰδίαν σκηνήν. Εἰ δὲ σκηνὴ τοσοῦτον
but also in us the own tabernacle if and tabernacle so-great
ἀγαθὸν ὀνομάζεται, ταρασσέσθω μηδὲν ὁ φιλόχριστος, ὡς
(a)-good is-named let-be-troubled not-at-all the lover-of-Christ as

κατασμικρυνούσης τὸ μεγαλεῖον τῆς φύσεως τοῦ Θεοῦ, τῆς
belittling the majesty of-the nature — of-God the
ἐγκειμένης τῇ λέξει ἐμφάσεως. Οὐδὲ γὰρ ἄλλο τι τῶν
lying-in the word significance not-even for other any of-the
ὀνομάτων ἄξιον τῆς φύσεως τοῦ σημαινομένου ἐστίν·
names worthy of-the nature of-the(-thing) signified is
ἀλλὰ πάντα ὁμοίως ἀποπέπτωκε τῆς ἀκριβοῦς σημασίας,
but all alike have-fallen-short of-the exact signification
τά τε μικρὰ νομιζόμενα, καὶ οἷς τι μέγεθος νοημάτων
the both small being-thought and in-which some greatness of-thoughts
ἐξ ὑπολήψεως ἐνορᾶται. Ἀλλ' ὥσπερ τὰ ἄλλα πάντα,
from supposition is-seen but as the others all
κατά τι σημαινόμενον, ἕκαστον εὐσεβῶς πρὸς ἔνδειξιν
according-to some signified(-sense) each piously for indication
τῆς θείας δυνάμεως λέγεται, οἷον ὁ ἰατρὸς, ὁ ποιμὴν, ὁ
of-the divine power is-said as the physician the shepherd the
ὑπερασπιστὴς, ὁ ἄρτος, ὁ ἄγγελος, ἡ ἄμπελος, ἡ ὁδὸς,
protector the bread the angel the vine the way
ἡ θύρα, ἡ μονὴ, τὸ ὕδωρ, ἡ πέτρα, ἡ πηγὴ, καὶ ὅσα
the door the abode the water the rock the spring and as-many-as
ἄλλα περὶ αὐτοῦ λέγεται· οὕτω, κατά τινα θεοπρεπῆ
other(-things) about him are-said thus according-to some God-befitting
σημασίαν, καὶ τῷ τῆς σκηνῆς κατονομάζεται ῥήματι.
signification also by-the of-the tabernacle he-is-named word
Ἡ γὰρ περιεκτικὴ τῶν ὄντων δύναμις, ἐν ᾗ κατοικεῖ
the for containing of-the beings power in which dwells
πᾶν τὸ πλήρωμα τῆς θεότητος, ἡ κοινὴ τοῦ παντὸς
all the fullness of-the godhead the common of-the all
σκέπη, ὁ ἐν αὐτῷ τὸ πᾶν περιέχων, σκηνὴ κυρίως
shelter the(-one) in himself the all containing tabernacle properly
κατονομάζεται. Ἀνάγκη δὲ πρόσφορον εἶναι τῷ ὀνόματι
is-named necessity and suitable to-be to-the name

τὴν ὀπτασίαν, ἑκάστου τῶν ὀφθέντων πρός τινα
the vision each of-the(-things) seen toward some
θεοπρεποῦς ὑπολήψεως θεωρίαν χειραγωγοῦντος. Ἐπεὶ οὖν
God-befitting conception contemplation leading-by-the-hand since then
ὁ μέγας Ἀπόστολος καταπέτασμα τῆς κάτω σκηνῆς τὴν
the great Apostle (the)-veil of-the below tabernacle the
σάρκα φησὶν εἶναι· διὰ τὸ ἐκ ποικίλων, οἶμαι, τῶν
flesh says to-be because-of the from varied I-think the
τεσσάρων στοιχείων ἔχειν τὴν σύστασιν· τάχα καὶ αὐτὸς
four elements to-have the constitution perhaps also he-himself
ἐν ὀπτασίᾳ τῆς σκηνῆς γενόμενος, ἐν τοῖς ὑπερουρανίοις
in vision of-the tabernacle having-come in the supercelestial
ἀδύτοις, ᾧ διὰ τοῦ πνεύματος ἀπεκαλύφθη τὰ τοῦ
sanctuaries to-whom through the spirit were-revealed the of-the
παραδείσου μυστήρια· καλῶς ἂν ἔχοι τῇ μερικῇ
paradise mysteries well — it-would-be to-the partial
προσέχοντας ἑρμηνείᾳ, πᾶσαν τὴν τῆς σκηνῆς θεωρίαν
attending interpretation all the of-the tabernacle contemplation
συναρμόζειν τῷ μέρει. Γένοιτο δ' ἂν ἡμῖν, δι' αὐτῶν
to-fit to-the part might-come and — to-us through themselves
τῶν τοῦ Ἀποστόλου λόγων, ἡ τῶν τῆς σκηνῆς αἰνιγμάτων
the of-the Apostle words the of-the of-the tabernacle riddles
σαφήνεια. Φησὶ γάρ που περὶ τοῦ Μονογενοῦς, ὃν
clarity he-says for somewhere about the Only-begotten whom
ἀντὶ τῆς σκηνῆς νενοήκαμεν, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ
instead-of the tabernacle we-have-understood that in him were-created the(-things)
πάντα, τὰ ὁρατά τε καὶ τὰ ἀόρατα, εἴτε θρόνοι,
all the(-things) visible both and the(-things) invisible whether thrones
εἴτε ἐξουσίαι, εἴτε ἀρχαὶ, εἴτε κυριότητες, εἴτε δυνάμεις.
or authorities or principalities or lordships or powers

29 Οὐκοῦν στύλοι ἀργυρολαμπεῖς, καὶ χρυσήλατοι, καὶ
so pillars silver-shining and gold-wrought and
ἀναφορεῖς, καὶ δακτύλιοι, καὶ τὰ χερουβὶμ ἐκεῖνα, τὰ
carrying-poles and rings and the cherubim those the(-ones)
ταῖς πτέρυξι τὴν κιβωτὸν ἐπικρύπτοντα, καὶ τἆλλα
with-the wings the ark covering and the-other(-things)
πάντα, ὅσα ἡ τῆς σκηνοπηγίας ὑπογραφὴ περιέχει, εἰ
all as-many-as the of-the tabernacle-pitching sketch contains if
μέν τις πρὸς τὰ ἄνω βλέποι σκοπῶν, αἱ ὑπερκόσμιοι
indeed anyone to the(-things) above should-look considering the supercosmic
δυνάμεις εἰσὶν, αἱ ἐν τῇ σκηνῇ θεωρούμεναι, αἱ
powers are the(-ones) in the tabernacle contemplated the(-ones)
κατὰ θείαν βούλησιν τὸ πᾶν ὑπερείδουσαι. Ἐκεῖνοι ἀληθινοὶ
by divine will the all propping-up those (are)-true
ἀναφορεῖς ἡμῶν, οἱ εἰς διακονίαν ἀποστελλόμενοι διὰ
carrying-poles our the(-ones) for service sent-forth because-of
τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, οἱ καθάπερ
the(-ones) about to-inherit salvation the(-ones) as-if
δακτυλίοις τισὶ ταῖς ψυχαῖς ἡμῶν ἐνειρόμενοι τῶν
with-rings some to-the souls our threaded of-the(-ones)
σωζομένων, δι᾽ ἑαυτῶν πρὸς τὸ ὕψος τῆς ἀρετῆς τοὺς
being-saved through themselves to the height of-the virtue the(-ones)
κειμένους ἐπὶ τῆς γῆς ἀναφέροντες. Χερουβὶμ δὲ εἰπὼν
lying on the earth carrying-up cherubim and having-said
ὁ λόγος κατακαλύπτοντα ταῖς πτέρυξι τὰ ἐγκείμενα τῇ
the word covering with-the wings the lying-in the
κιβωτῷ τῆς διαθήκης μυστήρια, βεβαιοῖ τὴν ἀποδοθεῖσαν
ark of-the covenant mysteries confirms the rendered
ἡμῖν παρὰ τῆς σκηνῆς θεωρίαν. Τὸ γὰρ ὄνομα τοῦτο τῶν
to-us from the tabernacle contemplation the for name this of-the
περὶ τὴν θείαν φύσιν θεωρουμένων δυνάμεων μεμαθήκαμεν,
about the divine nature contemplated powers we-have-learned

ἃς ὁ Ἡσαΐας καὶ ὁ Ἰεζεκιὴλ κατενόησαν. Ἡ δὲ κιβωτὸς
which — Isaiah and — Ezekiel observed the and ark
τῆς διαθήκης, κεκαλυμμένη ταῖς πτέρυξι, μὴ ξενιζέτω τὴν
of-the covenant covered by-the wings not let-it-astonish the
ἀκοήν· καὶ γὰρ ἐν τῷ Ἡσαΐᾳ τὸ ὅμοιον ἔστι μαθεῖν,
hearing and for in — Isaiah the like it-is-possible to-learn
ἐν αἰνίγματι παρὰ τοῦ προφήτου περὶ τῶν πτερύγων
in riddle by the prophet about the wings
λεγόμενον· ὧδε μὲν ἡ κιβωτὸς, ἐκεῖ δὲ πρόσωπον, ὡς
said here indeed the ark there and (the)-face as
ἑνὸς ὄντος τοῦ ἐν ἀμφοτέροις νοουμένου, ὅπερ μοι
one being the(-thing) in both understood which to-me
δοκεῖ τὸ ἀκατάληπτον τῆς τῶν ἀπορρήτων θεωρίας
seems the incomprehensible of-the of-the secret(-things) contemplation
αἰνίσσεσθαι. Κἂν περὶ λύχνων ἀκούσῃς πολυσχιδῶς ἐκ
to-hint-at and-if about lamps you-hear in-many-branches from
μιᾶς λυχνίας ἀνεχομένων, ὥστε ἄφθονον εἶναι καὶ δαψιλὲς
one lampstand held-up so-that abundant to-be and plentiful
τὸ φῶς πανταχόθεν λαμπόμενον· οὐκ ἂν ἁμάρτοις, τὰς
the light from-all-sides shining not — you-would-err the
πολυειδεῖς τοῦ πνεύματος μαρμαρυγὰς διαπρέπειν ταύτῃ
multiform of-the spirit flashings to-be-conspicuous in-this
τῇ σκηνῇ λογιζόμενος, καθὼς Ἡσαΐας φησὶν, ἑπταχῆ
the tabernacle reckoning as Isaiah says sevenfold
διαιρῶν τὰς λαμπηδόνας τοῦ πνεύματος. Τὸ δὲ ἱλαστήριον
dividing the radiances of-the spirit the and mercy-seat
οὐδὲ ἑρμηνείας οἶμαι προσδέεσθαι, τοῦ Ἀποστόλου τὸ
not-even of-interpretation I-think to-need the Apostle the
κεκρυμμένον γυμνώσαντος, ὅς φησιν· ὅτι «ὃν προέθετο ὁ
hidden(-thing) having-laid-bare who says that whom set-forth —
Θεὸς ἱλαστήριον τῶν ψυχῶν ἡμῶν·» θυσιαστήριον δὲ καὶ
God (as)-mercy-seat of-the souls our altar and also

θυμιατήριον ἀκούων, νοῶ τὴν διηνεκῶς ἐπιτελουμένην
censer hearing I-understand the continually being-performed
τῇ σκηνῇ ταύτῃ τῶν ἐπουρανίων προσκύνησιν. Οὐ γὰρ
in-the tabernacle this of-the heavenly(-beings) worship not for
μόνον ἐπιγείων καὶ ὑπερχθονίων, ἀλλὰ καὶ τῶν
only of-earthly(-beings) and of-(beings)-above-the-earth but also of-the
ἐπουρανίων τὴν γλῶσσάν φησιν ἀναπέμπειν τὸν αἶνον τῇ
heavenly(-beings) the tongue he-says to-send-up the praise to-the
τῶν πάντων ἀρχῇ. Τοῦτο δέ ἐστιν ἡ κεχαρισμένη τῷ Θεῷ
of-the all beginning this and is the pleasing — to-God
θυσία, τὸ κάρπωμα τῶν χειλέων, καθώς φησιν ὁ Ἀπόστολος,
sacrifice the fruit of-the lips as says the Apostle
καὶ τῶν προσευχῶν ἡ εὐωδία. Εἰ δὲ καὶ δέρμα ἐν τούτοις
and of-the prayers the fragrance if and also skin among these(-things)
ὁρᾶται πεφοινιγμένον βαφῇ, καὶ τρίχες ἐξυφανθεῖσαι·
is-seen reddened with-dye and hairs woven
οὐδὲ οὕτως ὁ εἱρμὸς τῆς θεωρίας διακοπήσεται. Ὁ
not-even thus the chain of-the contemplation will-be-broken the
γὰρ προφητικὸς ὀφθαλμὸς, ἐν τῇ τῶν θείων ὀπτασίᾳ
for prophetic eye in the of-the divine(-things) vision
γινόμενος, ἐκεῖ καθεώραται προσωρισμένον τὸ σωτήριον
being there has-seen fixed-beforehand the saving
πάθος· ὅπερ ἐν ἑκατέρῳ τῶν εἰρημένων σημαίνεται·
passion which in each of-the(-things) said is-signified
τοῦ μὲν ἐρυθήματος τὸ αἷμα, τῆς δὲ τριχὸς ἑρμηνευούσης
the indeed red the blood the and hair interpreting
τὴν νέκρωσιν. Ἄμοιρος γὰρ αἰσθήσεως ἡ θρὶξ τῷ
the deadness without-share for of-sensation the hair in-the
σώματι· διὸ κυρίως νεκρότητος γίνεται σύμβολον.
body therefore properly of-deadness becomes (a)-symbol

XVIII · THE CHURCH AND THE PRIEST'S ROBE

In the lower tabernacle, the Church, the pillars are apostles, teachers, and prophets, the laver those who baptize, the curtains the concord of believers, and the red skins and hair the deadening of the flesh in virginity; the holy of holies is the truth hidden from the many. Moses then learns the priest's vesture: its names (oracle, manifestation, and truth) fit no bodily garment. The blue robe is the airy life that weighs nothing at the last trumpet; its golden bells and pomegranates are faith and a good conscience.

Ὅταν μὲν οὖν τὴν ἄνω σκηνὴν βλέπῃ· ταῦτα διὰ 30
when indeed then the above tabernacle he-looks-at these(-things) through
τούτων ὁ προφήτης ὁρᾷ. Εἰ δέ τις τὴν κάτω σκηνὴν
these the prophet sees if but anyone the below tabernacle
θεωροίη· ἐπειδὴ πολλαχῆ Χριστὸς ἡ Ἐκκλησία παρὰ
should-contemplate since in-many-places Christ the Church by
τοῦ Παύλου κατονομάζεται· καλῶς ἂν ἔχοι τοὺς
— Paul is-named well — it-would-be the
ὑπηρέτας τοῦ θείου μυστηρίου, οὓς καὶ στύλους τῆς
ministers of-the divine mystery whom also pillars of-the
Ἐκκλησίας κατονομάζει ὁ λόγος, ἀποστόλους τε καὶ
Church names the word apostles both and
διδασκάλους καὶ προφήτας, τὰ ὀνόματα ταῦτα ὀνομάζειν
teachers and prophets the names these to-name
εἶναι. Οὐ γὰρ μόνον Πέτρος καὶ Ἰωάννης καὶ Ἰάκωβος,
to-be not for only Peter and John and James
στύλοι τῆς Ἐκκλησίας εἰσίν· οὐδὲ μόνος ὁ Βαπτιστὴς
pillars of-the Church are nor only the Baptist
Ἰωάννης ὁ λύχνος ἦν καιόμενος· ἀλλὰ πάντες οἱ δι᾽
John the lamp was burning but all the(-ones) through
ἑαυτῶν τὴν Ἐκκλησίαν ἐρείδοντες, καὶ οἱ διὰ τῶν
themselves the Church propping and the(-ones) through the

ἰδίων ἔργων φωστῆρες γινόμενοι, καὶ στύλοι καὶ λύχνοι
own works luminaries becoming both pillars and lamps
λέγονται. «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου,» φησὶ πρὸς
are-called you are the light of-the world says to
τοὺς ἀποστόλους ὁ Κύριος. Καὶ πάλιν ἑτέρους ὁ Θεῖος
the apostles the Lord and again others the Divine
Ἀπόστολος στύλους εἶναι διακελεύεται, λέγων· «Ἑδραῖοι
Apostle pillars to-be urges saying steadfast
γίνεσθε καὶ ἀμετακίνητοι.» Καὶ τὸν Τιμόθεον καλὸν στύλον
become and immovable and — Timothy (a)-fine pillar
ἐτεκτήνατο, ποιήσας αὐτὸν (καθώς φησι τῇ ἰδίᾳ φωνῇ)
he-fashioned having-made him as he-says in-the own voice
στύλον καὶ ἑδραίωμα τῆς Ἐκκλησίας ἀληθείας. Ἐν ταύτῃ
(a)-pillar and foundation of-the Church's truth in this
τῇ σκηνῇ καὶ θυσία τῆς αἰνέσεως, καὶ θυμίαμα τῆς
the tabernacle both (the)-sacrifice of-the praise and (the)-incense of-the
προσευχῆς, ἡ τῷ ὄρθρῳ καὶ τῇ ἑσπέρᾳ ἐνεργουμένη
prayer the(-one) at-the dawn and at-the evening worked
διὰ παντὸς καθορᾶται· νοεῖν δὲ δίδωσι ταῦτα ὁ
through all is-seen to-understand and gives these(-things) the
μέγας Δαυῒδ, κατευθύνων εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ
great David directing into (an)-odor of-sweetness — to-God
τῆς προσευχῆς τὸ θυμίαμα· καὶ διὰ τῆς ἐκτάσεως τῶν
of-the prayer the incense and through the stretching of-the
χειρῶν, ἱερουργῶν τὴν θυσίαν. Λουτῆρας δέ τις ἀκούων,
hands offering the sacrifice lavers and anyone hearing
νοήσει πάντως τοὺς διὰ τοῦ μυστικοῦ ὕδατος τὸν
will-understand wholly the(-ones) through the mystical water the
μολυσμὸν ἀποκλύζοντας τῶν ἁμαρτιῶν. Λουτὴρ ἦν ὁ
defilement washing-off of-the sins (a)-laver was —
Ἰωάννης, ἐν τῷ Ἰορδάνῃ λούων, ἐν τῷ τῆς μετανοίας
John in the Jordan washing in the of-the repentance

βαπτίσματι· λουτὴρ ἦν ὁ Πέτρος, τρισχιλίους κατὰ
baptism (a)-laver was — Peter three-thousand at
ταὐτὸν καθάπαξ κατάγων ἐπὶ τὸ ὕδωρ. Λουτὴρ τοῦ
the-same(-time) at-once leading-down to the water (the)-laver of-the
Κανδάκου ὁ Φίλιππος, καὶ πάντων πάντες τῶν
(man)-of-Candace — Philip and of-all all of-the(-ones)
μετεχόντων τῆς δωρεᾶς, οἱ ἐνεργοῦντες τὴν χάριν.
partaking of-the gift the(-ones) working the grace
Τὰς δὲ αὐλαίας, αἳ διὰ τῆς μετ' ἀλλήλων συμβολῆς
the and curtains which through the with one-another joining
τὴν σκηνὴν ἐν κύκλῳ διαλαμβάνουσι, τὴν ἀγαπητικήν
the tabernacle in (a)-circle enclose the loving
τε καὶ εἰρηνικὴν τῶν πιστευόντων ὁμόνοιαν εἶναί
both and peaceful of-the(-ones) believing concord to-be
τις ὑπονοῶν, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος· οὕτω τοῦ
anyone supposing not — would-miss the fitting thus —
Δαβὶδ ἑρμηνεύσαντος, ὅς φησιν, ὅτι, Θεὶς τὰ ὅριά σου
David having-interpreted who says that having-set the borders your
εἰρήνην. Δέρμα δὲ πεφοινιγμένον, καὶ δέῤῥεις ἀπὸ τριχῶν,
peace (the)-skin and reddened and skins from hairs
πρὸς κόσμον τῆς σκηνῆς συντελοῦσαι, καταλλήλως ἂν
for (the)-adornment of-the tabernacle contributing correspondingly —
νοηθεῖεν ἥ τε νέκρωσις τῆς ἁμαρτητικῆς σαρκὸς,
might-be-understood the both deadening of-the sinful flesh
ἧς αἴνιγμα τὸ πεφοινιγμένον δέρμα ἐστὶ, καὶ ἡ τραχεῖα
of-which (the)-riddle the reddened skin is and the rough
διαγωγὴ κατ' ἐγκράτειαν, οἷς ὡραΐζεται μάλιστα ἡ
way-of-life in self-control by-which is-made-beautiful most the
τῆς Ἐκκλησίας σκηνή. Τὰ γὰρ δέρματα ζωτικὴν ἐν
of-the Church tabernacle the for skins living in
ἑαυτοῖς οὐκ ἔχοντα δύναμιν τὴν ἐκ φύσεως, τῇ βαφῇ
themselves not having power the from nature by-the dye

τοῦ ἐρυθήματος εὐανθῆ γίνεται, ὅπερ διδάσκει, τὴν διὰ
of-the red blooming become which teaches the through
τοῦ Πνεύματος ἐπανθοῦσαν χάριν μὴ ἐν ἑτέροις γίνεσθαι,
the Spirit blooming grace not in others to-come-about
εἰ μή τινες ἑαυτοὺς τῇ ἁμαρτίᾳ νεκρώσαιεν. Εἰ δὲ
if not some themselves to-the sin should-put-to-death if and
καὶ ἡ σώφρων αἰδὼς τῇ βαφῇ τοῦ ἐρυθήματος ὑπὸ
also the sober modesty by-the dye of-the red by
τοῦ λόγου σημαίνεται, ἐπὶ τῷ βουλομένῳ ποιοῦμαι
the word is-signified to the(-one) wishing I-make
τὴν κρίσιν. Ἡ δὲ τῶν τριχῶν συμπλοκὴ, τραχύ τε καὶ
the judgment the and of-the hairs interweaving rough both and
δυσαφὲς ἀπεργαζομένη ἐξύφασμα, τὴν τραχεῖαν ταύτην
hard-to-touch working-out (a)-woven-work the rough this
καὶ δαπανητικὴν τῶν καθομιλούντων παθῶν ἐγκράτειαν
and consuming of-the besetting passions self-control
ὑπαινίσσεται· τὰ δὲ τοιαῦτα πάντα δείκνυσιν ἐφ' ἑαυτῆς
hints-at the and such(-things) all shows in itself
ἡ ἐν παρθενίᾳ ζωὴ, ἡ τὴν σάρκα τῶν οὕτω
the in virginity life the(-one) the flesh of-the(-ones) thus
βιούντων ὑποπιέζουσα. Εἰ δὲ τὸ ἔνδον, ὅπερ Ἅγιον
living pressing-down if and the inside which Holy
ἁγίων λέγεται, τοῖς πολλοῖς ἐστιν ἀνεπίβατον, μηδὲ
of-holies is-called to-the many is inaccessible not-even
τοῦτο ἀπᾴδειν τῆς τῶν νοηθέντων ἀκολουθίας
this to-be-discordant from-the of-the(-things) understood sequence
νομίσωμεν. Ἀληθῶς γὰρ ἅγιόν τι χρῆμά ἐστι, καὶ ἁγίων
let-us-think truly for holy some thing is and of-holies
ἅγιον, καὶ τοῖς πολλοῖς ἄληπτόν τε καὶ ἀπρόσιτον,
holy and to-the many ungraspable both and unapproachable
ἡ τῶν ὄντων ἀλήθεια, ἧς ἐν τοῖς ἀδύτοις τε καὶ
the of-the beings truth of-which in the sanctuaries both and

ἀπορρήτοις τῆς τοῦ μυστηρίου σκηνῆς καθιδρυμένης,
secret(-places) of-the of-the mystery tabernacle being-established
ἀπολυπραγμόνητον εἶναι χρὴ τῶν ὑπὲρ κατάληψιν
unmeddled-with to-be it-is-needful of-the(-things) beyond comprehension
ὄντων τὴν κατανόησιν· πιστεύοντας εἶναι μὲν τὸ
being the understanding believing to-be indeed the(-thing)
ζητούμενον, οὐ μὴν τοῖς ὀφθαλμοῖς πάντων προκεῖσθαι,
sought not however to-the eyes of-all to-lie-before
ἀλλ' ἐν τοῖς ἀδύτοις τῆς διανοίας μένειν ἀπόρρητον.
but in the sanctuaries of-the mind to-remain secret
Ταῦτα δὲ καὶ τὰ τοιαῦτα παιδευθεὶς διὰ τῆς κατὰ 31
these(-things) and also the such(-things) having-been-taught through the in
τὴν σκηνὴν ὀπτασίας, ὁ κεκαθαρμένος ἐκεῖνος ὀφθαλμὸς
the tabernacle vision the purified that eye
τῆς Μωϋσέως ἐκείνης ψυχῆς, καὶ διὰ τῶν τοιούτων
of-the of-Moses that soul and through the such
ὑψωθεὶς θεαμάτων, πάλιν πρὸς κορυφὴν ἄλλων νοημάτων
raised sights again to (a)-peak of-other thoughts
ἀναβιβάζεται, τὸν στολισμὸν τῆς ἱερωσύνης ἐκπαιδευόμενος·
is-made-to-ascend the vesture of-the priesthood being-taught
ἐν οἷς ἐστιν ὅ τε ὑποδύτης, καὶ ὁ ἐπενδύτης, καὶ
in which is the both under-robe and the over-robe and
τὸ προστήθιον ἐκεῖνο ταῖς ποικίλαις τῶν λίθων αἴγλαις
the breastplate that with-the varied of-the stones gleams
περιλαμπόμενον, καὶ ἡ περὶ τὴν κεφαλὴν ταινία, καὶ
shining-around and the about the head band and
τὸ ἐπ' αὐτῆς πέταλον, ἡ περισκελὶς, οἱ ῥοῖσκοι, οἱ
the on it plate the leggings the little-pomegranates the
κώδωνες, εἶτα ὑπεράνω πάντων, τὸ λόγιόν τε καὶ ἡ
bells then above all the oracle both and the
δήλωσις, καὶ ἡ ἐπ' ἀμφοῖν θεωρουμένη ἀλήθεια, αἵ τε
manifestation and the on both contemplated truth the and

συνδετικαὶ τούτων ἑκατέρωθεν ἐπωμίδες, ἐγκεκολαμμέναι
binding these on-both-sides shoulder-pieces engraved-with
τῶν πατριαρχῶν τὰ ὀνόματα· ὧν ὑποτέμνεται τὸ πλῆθος
of-the patriarchs the names of-which cuts-short the multitude
τῆς καθ' ἕκαστον ἀκριβοῦς θεωρίας, αὐτὰ τῆς περιβολῆς
of-the in particular exact contemplation themselves of-the vesture
τὰ ὀνόματα. Ποῖον γὰρ σωματικῶν ἐσθημάτων ὄνομα,
the names what-sort for of-bodily garments name
δήλωσις, ἢ λόγιον, ἢ ἀλήθεια; ἦ δηλονότι δείκνυται διὰ
manifestation or oracle or truth surely evidently is-shown through
τούτων, τὸ μὴ ταύτην τὴν αἰσθητὴν περιβολὴν διὰ τῆς
these(-things) the not this the sensible vesture through the
ἱστορίας ἡμῖν ὑπογράφεσθαι, ἀλλά τινα κόσμον ψυχῆς,
history to-us to-be-sketched but some adornment of-soul
διὰ τῶν κατ' ἀρετὴν ἐπιτηδευμάτων ἐξυφαινόμενον.
through the in virtue pursuits woven-out
Ὑάκινθός ἐστιν ἡ τοῦ ποδήρους βαφή· φασὶ δέ τινες
hyacinth is the of-the robe-to-the-feet dye say and some
τῶν πρὸ ἡμῶν τεθεωρηκότων τὸν λόγον, τὸν ἀέρα
of-the(-ones) before us having-contemplated the word the air
σημαίνεσθαι τῇ βαφῇ. Ἐγὼ δὲ εἰ μέν τι τὸ τοιοῦτον
to-be-signified by-the dye I but if indeed at-all the such
τοῦ χρώματος ἄνθος πρὸς τὸ ἀέριον χρῶμα συγγενῶς
of-the color bloom to the airy color akin
ἔχει, ἀκριβῶς οὐκ ἔχω διϊσχυρίζεσθαι. Τὸν μέν τοι
has exactly not I-am-able to-affirm the indeed surely
λόγον οὐκ ἀποβάλλω· συντείνει γὰρ πρὸς τὴν κατ' ἀρετὴν
word not I-reject it-tends for toward the in virtue
θεωρίαν νόημα, ὅτι βούλεται, τὸν μέλλοντα τῷ Θεῷ
contemplation (a)-thought that it-wishes the(-one) about — to-God
ἱερᾶσθαι, καὶ τὸ ἑαυτοῦ προσάγειν σῶμα τῇ ἱερουργίᾳ
to-serve-as-priest also the own to-bring body to-the sacred-service

καὶ σφάγιον γίνεσθαι μὴ νεκρούμενον, ἐν τῇ ζώσῃ θυσίᾳ
and victim to-become not being-killed in the living sacrifice
καὶ λογικῇ λατρείᾳ, μὴ παχείᾳ τινὶ καὶ πολυσάρκῳ τοῦ
and rational worship not with-thick some and fleshy of-the
βίου περιβολῇ καταβλάπτειν τὴν ψυχὴν, ἀλλ' ἀπολεπτύνειν
life covering to-harm the soul but to-make-fine
οἷόν τι ἀράχνιον νῆμα τῇ καθαρότητι τῆς ζωῆς πάντα
as some spider's thread by-the purity of-the life all
τὰ τοῦ βίου ἐπιτηδεύματα, καὶ ἐγγὺς εἶναι πρὸς τὸ
the of-the life pursuits and near to-be to the
ἀνωφερές τε καὶ κοῦφον καὶ ἐναέριον, τὴν σωματώδη
upward-tending both and light and airy the bodily
ταύτην φύσιν μετακλάσαι· ἵνα ὅταν τῆς ἐσχάτης ἀκούσωμεν
this nature to-bend-round that when the last we-hear
σάλπιγγος, ἀβαρεῖς τε καὶ κοῦφοι πρὸς τὴν φωνὴν
trumpet weightless both and light at the voice
τοῦ κελεύοντος εὑρεθέντες, μετάρσιοι δι' ἀέρος ἅμα
of-the(-one) commanding found raised-aloft through air together
τῷ Κυρίῳ φερώμεθα, ὑπὸ μηδενὸς βάρους ἐπὶ τὴν γῆν
with-the Lord we-may-be-carried by no weight to the earth
καθελκόμενοι. Οὐκοῦν ὁ κατὰ τὴν τοῦ Ψαλμῳδοῦ
dragged-down so the(-one) according-to the of-the Psalmist
ὑποθήκην, ἐκτήξας ὡς ἀράχνην τὴν ἑαυτοῦ ψυχὴν, τὸν
counsel having-melted like (a)-spider the own soul the
ἀερώδη ἐκεῖνον χιτῶνα περιεβάλετο ἐκ κεφαλῆς εἰς
airy that tunic put-on from head to
ἄκρους πόδας διήκοντα. Οὐ γὰρ βούλεται κολοβοῦσθαι
(the)-tips-of feet reaching not for wishes to-be-cut-short
τὴν ἀρετὴν ὁ νόμος. Ἡ οὖν λαμπηδὼν τῶν καλῶν ἔργων,
the virtue the law the then brilliance of-the good works
οἱ χρυσοῖ κώδωνές εἰσι, τοῖς ῥοΐσκοις περιδονούμενοι.
the golden bells are with-the little-pomegranates being-whirled-around

Δύο γάρ ἐστι ταῦτα ἐπιτηδεύματα, δι᾽ ὧν ἡ ἀρετὴ
two for are these pursuits through which the virtue
συναγείρεται· ἡ εἰς τὸν Θεὸν πίστις, ἥ τε παρὰ τὸν βίον
is-gathered the into — God faith the and in the life
συνείδησις. Τούτους προστίθησι τῷ ἐνδύματι τοῦ Τιμοθέου
conscience these adds to-the garment — of-Timothy
τοὺς ῥοΐσκους τε καὶ τοὺς κώδωνας ὁ μέγας Παῦλος,
the little-pomegranates both and the bells the great Paul
εἰπὼν αὐτὸν ἔχειν δεῖν πίστιν καὶ ἀγαθὴν συνείδησιν.
having-said him to-have must faith and good conscience

XIX · THE BREASTPLATE AND THE BROKEN TABLETS

Faith should sound clearly, and life should be like the pomegranate, hard outside and sweet within. The tassels are virtues added beyond the commandment, as Paul preached without pay. The woven robes blend many virtues; the patriarchs on the shoulders are examples; the shields are the armor of righteousness on right and left; the square breastplate is steadfastness; the crown the reward; and the priest goes unshod. The tablets carried down are shattered by sin, the calf idol, which Moses grinds to powder and gives the people to drink.

32 Οὐκοῦν ἡ μὲν πίστις καθαρὸν ἠχείτω καὶ μεγαλόφωνον
so the indeed faith pure let-it-sound and loud-voiced
ἐν τῷ τῆς ἁγίας Τριάδος κηρύγματι. Ὁ δὲ βίος μιμείσθω
in the of-the holy Trinity proclamation the and life let-it-imitate
τοῦ καρποῦ τῆς ῥοιᾶς τὴν φύσιν· ἐκείνης τε γὰρ
of-the fruit of-the pomegranate the nature of-that both for
ἄβρωτός ἐστιν ἡ ἐπιφάνεια, στερρῷ τε καὶ κατεστυμμένῳ
inedible is the surface by-hard both and astringent
τῷ ἐλύτρῳ διειλημμένη. Τὸ δὲ ἐγκείμενον, ἡδὺ μὲν ὀφθῆναι
the rind enclosed the but lying-within sweet indeed to-be-seen

τῷ ποικίλῳ τε καὶ εὐκόσμῳ τῆς τοῦ καρποῦ διαθέσεως,
by-the varied both and orderly of-the of-the fruit arrangement
ἥδιον δὲ τῇ γεύσει γίνεται, καταγλυκαῖνον τὴν αἴσθησιν.
sweeter but to-the taste becomes sweetening the sense
Ἥ τε φιλόσοφος καὶ κατεσκληκυῖα διαγωγὴ δύσληπτός
the both philosophic and hardened way-of-life hard-to-take
τις οὖσα καὶ ἀηδὴς τῇ αἰσθήσει, πλήρης ἀγαθῶν
some being and unpleasant to-the sense full of-good
ἐλπίδων ἐστὶ, κατὰ τὸν ἴδιον καρπὸν πεπανθεῖσα.
hopes is according-to the own fruit ripened
Ἐπειδὰν γὰρ ὁ γεωργὸς ἡμῶν ἀναπτύξῃ τοῦ βίου τὴν
when for the farmer our opens of-the life the
ῥοιὰν τῷ ἰδίῳ καιρῷ, καὶ δείξῃ τῶν ἀποθέτων
pomegranate at-the own season and shows of-the(-things) laid-up
τὸ κάλλος· τότε γλυκεῖα γίνεται τοῖς ἀπολαύουσιν
the beauty then sweet becomes for-the(-ones) enjoying
ἡ μετουσία τῶν ἰδίων καρπῶν. Φησὶ γάρ που καὶ
the participation of-the own fruits says for somewhere also
ὁ θεῖος Ἀπόστολος, ὅτι πᾶσα παιδεία πρὸς μὲν τὸ
the divine Apostle that all discipline for indeed the
παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· τοῦτό ἐστι
present not seems of-joy to-be but of-grief this is
τῆς ῥοιᾶς τὸ προεντυγχάνον τοῖς ἁπτομένοις·
of-the pomegranate the(-thing) first-encountering to-the(-ones) touching
ὕστερον δὲ καρπὸν εἰρηνικὸν ἀποδίδωσι. Τοῦτο ἡ τῶν
later but fruit peaceful it-renders this (is)-the of-the
ἔνδοθεν ἐδωδίμων γλυκύτης. Τὸν δὲ χιτῶνα τοῦτον καὶ
inner edibles sweetness the and tunic this also
κοσυμβωτὸν εἶναι ὁ λόγος διακελεύεται. Κόσυμβοι δέ
tasseled to-be the word urges tassels and
εἰσι, τὰ ἔξω τῆς χρείας, κόσμου χάριν, ἀπηρτημένα
are the outside the need of-adornment for-the-sake hung-on

σφαιροειδῆ ἀπαρτήματα. Μανθάνομεν δὲ διὰ τούτων· τὸ
spherical pendants we-learn and through these the
δεῖν μὴ τῇ ἐντολῇ μόνον τὴν ἀρετὴν μετρεῖσθαι, ἀλλά
must not by-the commandment only the virtue to-be-measured but
τι καὶ παρ᾽ ἡμῶν ἐξευρίσκεσθαι διὰ τῶν ἔξωθεν
something also by us to-be-found-out through the from-outside
παρεπινοουμένων. Ὡς ἂν προσθήκη τις τοῦ κόσμου γένοιτο
devised(-things) that — addition some of-the adornment might-come
τῷ ἐνδύματι, οἷος ὁ Παῦλος ἦν, τοὺς καλοὺς παρ᾽
to-the garment as — Paul was the fine from
ἑαυτοῦ κοσύμβους ταῖς ἐντολαῖς συμπλέκων. Τοῦ γὰρ
himself tassels to-the commandments interweaving the for
νόμου κελεύοντος τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας,
law commanding the(-ones) the altar attending
τῷ θυσιαστηρίῳ συμμερίζεσθαι· καὶ μὴ κωλύοντος
with-the altar to-share and not preventing
ἀδελφὴν γυναῖκα περιάγειν, καὶ τοὺς τὸ Εὐαγγέλιον
(a)-sister (as)-wife to-take-about and the(-ones) the Gospel
καταγγέλλοντας, ἐκεῖθεν ζῆν· οὗτος ἀδάπανον ποιεῖται τὸ
proclaiming from-there to-live this-one free-of-charge makes the
Εὐαγγέλιον, πεινῶν καὶ διψῶν καὶ γυμνητεύων. Οὗτοί εἰσιν
Gospel hungering and thirsting and going-naked these are
οἱ καλοὶ κόσυμβοι, οἱ τὸν χιτῶνα τῶν ἐντολῶν τῇ
the fine tassels the(-ones) the tunic of-the commandments with-the
παρ᾽ ἑαυτῶν προσθήκῃ κατακοσμοῦντες. Εἶτα δύο πέπλοι
from themselves addition adorning then two robes
ἄνωθεν ἐπιβάλλονται τῷ ποδήρει ἐκ τῶν ὤμων μέχρι
from-above are-put-on on-the robe-to-the-feet from the shoulders as-far-as
τοῦ στήθους καὶ τῶν μεταφρένων καθήκοντες, δύο πόρπαις
the breast and the back reaching-down by-two clasps
καθ᾽ ἑκάτερον ὦμον ἀλλήλοις ἑνούμενοι. Αἱ δὲ πόρπαι
on each shoulder to-one-another united the and clasps

λίθοι εἰσὶ τὰ τῶν πατριαρχῶν ὀνόματα ἓξ καθ' ἑκάτερον
stones are the of-the patriarchs names six on each
ἐν τοῖς χαράγμασι φέρουσαι. Ποικίλη δὲ τῶν πέπλων ἡ
in the engravings bearing varied and of-the robes the
ἱστουργία. Ὑάκινθος μὲν πορφύρῳ συμπλέκεται. Τὸ δὲ τῆς
weaving hyacinth indeed with-purple is-interwoven the and of-the
κόκκου ἐρύθημα τῇ βύσσῳ μίγνυται. Πᾶσι δὲ τούτοις
scarlet red with-the fine-linen is-mixed with-all and these
τὸ ἐκ χρυσίου νῆμα συγκατασπείρεται· ὡς ἐκ τῆς
the from gold thread is-sown-among so-that from the
πολυειδοῦς ταύτης τῆς βαφῆς, μίαν τινὰ συγκεκραμένην
multiform this the dye one some blended
ὥραν ἐκ τοῦ ὑφάσματος ἀπαυγάζεσθαι· ἃ δὲ διὰ
beauty from the woven-work to-shine-forth what and through
τούτων μανθάνομεν, ταῦτά ἐστιν· ὅτι τὰ ἄνω τῆς
these(-things) we-learn these(-things) are that the(-parts) above of-the
περιβολῆς, ὅσα τῆς καρδίας ἰδίως γίνεται κόσμος,
vesture as-many-as of-the heart properly becomes adornment
ἐκ πολλῶν καὶ διαφόρων ἀρετῶν κατακίρναται. Ἡ οὖν
from many and different virtues is-blended the then
ὑάκινθος τῇ πορφύρᾳ συμπλέκεται· τῇ γὰρ καθαρότητι
hyacinth with-the purple is-interwoven with-the for purity
τῆς ζωῆς ἡ βασιλεία συνέζευκται. Κόκκος δὲ τῇ βύσσῳ
of-the life the kingship is-yoked scarlet and with-the fine-linen
συμπλέκεται· ὅτι πέφυκέ πως τῷ τῆς αἰδοῦς ἐρυθήματι
is-interwoven because it-is-wont somehow to-the of-the modesty red
τὸ λαμπρόν τε καὶ καθαρὸν τοῦ βίου συμφύεσθαι· ὁ
the brightness both and purity of-the life to-grow-together the
δὲ χρυσὸς τοῖς ἄνθεσι τούτοις συμπεριλάμπων, τὸν
and gold with-the blooms these shining-along the
ἀποκείμενον τῷ τοιούτῳ βίῳ θησαυρὸν ὑπαινίσσεται.
laid-up for-the such life treasure hints-at

33 Πατριάρχαι δὲ ταῖς ἐπωμίσιν ἐγγεγραμμένοι, οὐ μικρὰ
patriarchs and on-the shoulder-pieces inscribed not small(-things)
πρὸς τὸν τοιοῦτον καλλωπισμὸν ἡμῖν συνεισφέρουσι· τοῖς
toward the such adornment to-us contribute by-the
γὰρ προλαβοῦσι τῶν ἀγαθῶν ὑποδείγμασι κατακοσμεῖται
for preceding of-the goods examples is-adorned
μᾶλλον ἡ τῶν ἀνθρώπων ζωή. Πάλιν δὲ τῷ κόσμῳ τῶν
more the of-the men life again and to-the adornment of-the
πέπλων ἕτερος ἄνωθεν ἐπιβάλλεται κόσμος· ἀσπίδες ἐκ
robes another from-above is-put-on adornment shields of
χρυσοῦ καθ' ἑκατέρων τῶν ἐπωμίδων καθειμέναι, καὶ δι'
gold on each of-the shoulder-pieces let-down and through
ἑαυτῶν ἀνέχουσαί τι χρυσότευκτον ἐν τετραγώνῳ
themselves holding-up some(-thing) gold-wrought in square
τῷ σχήματι, δυοκαίδεκα λίθοις καταλαμπόμενον, στιχηδὸν
the shape with-twelve stones shining in-rows
διακειμένοις· τέτταρες δὲ οἱ λίθοι, τριάδα λίθων ἕκαστος
arranged four and the stones (a)-triad of-stones each
περιέχοντες. Ἐν αἷς οὐκ ἦν εὑρεῖν τινα ὁμοειδῆ πρὸς
containing in which not was-it-possible to-find any of-like-form to
τὴν ἑτέραν· ἀλλ' ἰδιαζούσαις αὐγαῖς ἑκάστη ἐκαλλωπίζετο.
the other but with-peculiar gleams each was-adorned
Τὸ μὲν δὴ σχῆμα τοῦ κόσμου, τοῦτο· ἡ δὲ διάνοια,
the indeed indeed shape of-the adornment (is)-this the but understanding
ἡ μὲν τῶν ἀσπίδων τῶν καθειμένων ἀπὸ τῶν ὤμων, τὸ
the indeed of-the shields of-the let-down from the shoulders the
περιδέξιον τῆς κατὰ τοῦ ἀντικειμένου ὁπλίσεως ὑπαινίσσεται,
ambidexterity of-the against the adversary armor hints-at
ὡς ἐδείχθη. Καθὼς μικρῷ πρόσθεν εἴρηται, τῆς ἀρετῆς
as was-shown as (a)-little before has-been-said the virtue
κατορθουμένης διά τε πίστεως, καὶ τῆς κατὰ τὸν βίον
being-achieved through both faith and the in the life

τοῦτον ἀγαθῆς συνειδήσεως, πρὸς ἀμφότερα ἠσφαλίσθαι
this good conscience toward both to-have-been-secured
ταῖς τῶν ἀσπίδων προσβολαῖς, ἄτρωτον τῶν τοιούτων
by-the of-the shields defenses unwounded by-the such
βελῶν διαμένοντα, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν
arrows remaining through the arms of-the righteousness of-the
δεξιῶν καὶ ἀριστερῶν· τὸ δὲ τετράγωνον ἐκεῖνο κόσμιον,
right and left the and square that ornament
τὸ τῶν ἀσπίδων ἑκατέρωθεν ἐξηρτημένον, ἐν ᾧ
the(-one) from-the shields on-both-sides hung in which
εἰσιν οἱ ἐπώνυμοι τῶν φυλῶν πατριάρχαι τοῖς λίθοις
are the eponymous of-the tribes patriarchs on-the stones
κατάγραπτοι· τοῦτο τῆς καρδίας προκάλυμμα γίνεται.
inscribed this of-the heart (a)-covering becomes
Παιδεύοντος ἡμᾶς τοῦ λόγου, ὅτι ὁ ταῖς δύο ταύταις
teaching us the word that the(-one) with-the two these
ἀσπίσι τὸν πονηρὸν τοξότην ἀποκρουσάμενος, πάσαις ταῖς
shields the wicked archer having-beaten-off with-all the
τῶν πατριαρχῶν ἀρεταῖς κατακοσμήσει τὴν ἰδίαν ψυχὴν,
of-the patriarchs virtues will-adorn the own soul
ἄλλου ἄλλως ἐν τῷ πέπλῳ τῆς ἀρετῆς διαλάμποντος.
one in-one-way in the robe of-the virtue shining-through
Τὸ δὲ σχῆμα τοῦ τετραγώνου, ἔνδειξίς σοι ἔστω τῆς
the and shape of-the square (an)-indication to-you let-it-be of-the
ἐν τῷ καλῷ παγιότητος. Δυσμετάθετον γὰρ τὸ τοιοῦτον
in the good firmness hard-to-displace for the such
σχῆμα, δι᾽ ἴσου ταῖς γωνίαις ἐπὶ τῆς εὐθείας τῶν
shape through equal at-the angles on the straight of-the
πλευρῶν ἐρειδόμενον· οἱ δὲ τελαμῶνες, δι᾽ ὧν τὰ
sides propped the and straps through which the
προκοσμήματα ταῦτα συνδεσμεῖται πρὸς τοὺς βραχίονας,
fore-ornaments these are-bound to the arms

δόγμα μοι δοκοῦσι πρὸς τὸν ὑψηλὸν βίον παρέχεσθαι,
(a)-teaching to-me seem toward the lofty life to-afford
τοῦ δεῖν συνάπτειν τὴν πρακτικὴν φιλοσοφίαν τῇ
the must to-join the practical philosophy to-the(-one)
κατὰ θεωρίαν ἐνεργουμένῃ· ὥστε τὴν καρδίαν μὲν, τῆς
by contemplation worked so-that the heart indeed of-the
θεωρίας· τοὺς δὲ βραχίονας τῶν ἔργων σύμβολα γίνεσθαι.
contemplation the and arms of-the works symbols to-become
Κεφαλὴ δὲ κοσμουμένη τῷ διαδήματι, τὸν ἀποκείμενον
(the)-head and adorned with-the diadem the laid-up
τοῖς εὖ βεβιωκόσι στέφανον ἀποσημαίνει, ὃν κοσμεῖ
for-the(-ones) well having-lived crown signifies which adorns
ὁ ἐσφραγισμένος τῷ χρυσῷ πετάλῳ τοῖς ἀῤῥήτοις
the(-one) sealed with-the golden plate with-the secret
χαράγμασιν. Ὑπόδημα δὲ οὐ περιτίθησι τῷ τὸν
engravings (a)-sandal and not he-puts-on to-the(-one) the
τοιοῦτον κόσμον ἐνδεδυκότι· ὡς ἂν μὴ βαρύνοιτο
such adornment having-put-on that — not he-might-be-weighed-down
πρὸς τὸν δρόμον, καὶ δυσκίνητος εἴη τῇ τῶν νεκρῶν
for the race and hard-to-move he-might-be by-the of-the dead
δερμάτων περιβολῇ, κατὰ τὴν γενομένην ἐπὶ τῆς τοῦ
skins covering according-to the having-come on the of-the
ὄρους θεωρίας διάνοιαν. Πῶς οὖν ἔμελλεν ἀντὶ κόσμου
mountain contemplation understanding how then was-it-going instead-of adornment
τῷ ποδὶ τὸ ὑπόδημα γίνεσθαι, τὸ κατὰ τὴν πρώτην
for-the foot the sandal to-become the(-one) in the first
μυσταγωγίαν ὡς ἐμπόδιον τῆς ἀνόδου ἀποβαλλόμενον; Ὁ
initiation as (a)-hindrance of-the ascent cast-away he
δὲ τοσοῦτον διαβὰς διὰ τῶν καθεξῆς θεωρηθεισῶν ἡμῖν
and so-far having-crossed through the in-order contemplated by-us
ἀναβάσεων, τὰς θεοτεύκτους πλάκας διὰ χειρὸς φέρει, αἳ
ascents the God-wrought tablets through (his)-hand carries which

θεῖον νόμον ἐν αὐταῖς περιέχουσιν. Ἀλλὰ συντρίβονται
(the)-divine law in themselves contain but are-shattered
αὗται, τῇ τραχύτητι τῆς τῶν ἡμαρτηκότων ἀντιτυπίας
these by-the roughness of-the of-the(-ones) having-sinned resistance
περιτριβεῖσαι. Τὸ δὲ τῆς ἁμαρτίας εἶδος, εἰδωλοποιία ἦν,
rubbed-around the and of-the sin form idol-making was
ἐν ὁμοιώματι μόσχου γλυφέντος τοῖς εἰδωλολάτραις τοῦ
in likeness of-(a)-calf carved by-the idolaters of-the
ἀφιδρύματος. Ὃ παρὰ τοῦ Μωϋσέως ἐκλεανθὲν, ὅλον
image which by — Moses ground-small whole
συνελύθη τῷ ὕδατι, καὶ ποτὸν τῶν ἐξημαρτηκότων
was-dissolved in-the water and (the)-drink of-the(-ones) having-sinned
ἐγένετο· ὥστε παντὶ τρόπῳ εἰς ἀφανισμὸν χωρῆσαι τὴν
became so-that in-every manner into destruction to-go the
ὕλην, τῇ ἀσεβείᾳ τῶν ἀνθρώπων ὑπηρετήσασαν ταῦτα
matter to-the impiety of-the men having-ministered these(-things)
μάλιστα καὶ περὶ τῶν νῦν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ
most also about the(-things) now in the in our time
γεγενημένων, τότε ἡ ἱστορία προφητικῶς ἀνεφώνησε.
having-happened then the history prophetically cried-out

So in our own time idolatry has been swallowed by the mouths that once worshiped idols. The Levites' indiscriminate slaughter corrects through a part the whole body grown together in sin. In the higher sense, whoever is on the Lord's side slays his brother, friend, and neighbor: the reasonings grown into us. Aaron, earlier read as the angel, now makes the idol from the earrings Moses hung in the ear, as the serpent first urged. The tablets, remade, show our nature first unbroken.

34 Πᾶσα γὰρ ἡ περὶ τὰ εἴδωλα πλάνη, τέλεον ἐξηφανίσθη,
all for the about the idols error completely was-destroyed
καταποθεῖσα παρὰ τῶν εὐσεβῶν στομάτων, τῶν διὰ
swallowed by the pious mouths the(-ones) through
τῆς ἀγαθῆς ὁμολογίας τὸν ἀφανισμὸν τῆς ἀσεβοῦς ὕλης
the good confession the destruction of-the impious matter
ἐν αὐτοῖς ποιησαμένων. Καὶ ὕδωρ γέγονεν ἀτεχνῶς
